τὰ ἀπιόντα ὡς ἐκ διαφθορῆς καὶ μέλανα. Ἔστι [1]δ' ᾗσι καὶ ἕλκεα γίνεται ἐν τῇσι μήτρῃσι, καὶ δεήσεται [2]προσέχειν τῇ μελέτῃ. Πολλῇσι δὲ ξυμβαίνει ὥστε δοκέειν ἓξ μῆνας ἔχειν ἐν γαστρὶ ἢ ὀλίγῳ ἐλάσσονα χρόνον, καὶ ἡ γαστὴρ πρόκειται, καὶ τἄλλα οἱ δοκέει γίνεσθαι ὡς τῇ ἐν γαστρὶ ἐχούσῃ· ἔπειτα ἔστι [3]μὲν ᾗσι διαπύοντα ἐῤῥάγη ὑπὲρ τοῦ βουβῶνος ἅμα τῷ πέμπτῳ ἢ ἕκτῳ μηνὶ καὶ ὁδὸν ταύτῃ ἐποιήσατο· ἔστι δὲ [4]καὶ ᾗσιν ἕλκεα γίνεται ἐν τῇσι μήτρῃσι κατὰ τὸ ὑπὲρ τοῦ βουβῶνος, καὶ κινδυνεύσει ἀποθανεῖν, ἢν δὲ καὶ περιγένηται, ἄφορος ἔσται. Ἔστι [5]δὲ ᾗσι κατὰ τὸ αἰδοῖον ῥήγνυται, καὶ χωρέει αὐτέῃσι σεσηπότα καὶ πυώδεα, καὶ ἀπὸ [6]τουτέων ἕλκεα ἐγγίνεται ἐν τῇσι μήτρῃσι, καὶ κινδυνεύσει, [7]καὶ χρὴ, ὅκως μὴ τὰ ἕλκεα παλαιὰ γένηται, ἰητρεύειν προσέχοντα· ἄφορος δὲ καὶ αὐτὴ γίνεται, ἤν γε καὶ ἰηθῇ. Ἢν δὲ [8]μή οἱ καταῤῥαγῇ τὰ καταμήνια διενεχθέντα ἐς ἓξ μῆνας, πείσεται πάντα ἅπερ τῇ ἀτόκῳ τὰ καταμήνια ὁδὸν οὐ δυνάμενα ἐφευρεῖν· καὶ ἢν μὲν θεραπευθῇ, ὑγιὴς ἔσται· [9]ἢν δὲ μὴ, διαρκέσασα καὶ ἐς ὀκτὼ μῆνας ἀποθνήσκει. Πολλῇσι δὲ γίνεται, ἢν τὰ καταμήνια [10]φλεγματώδεα χωρέῃ, ἐπὶ πολλὸν χρόνον χωρέειν καὶ ἐλάσσονα εἶναι τῶν ὑγιηρῶν· ὑγιὴς δὲ γίνεται ἐν [11]κόσμῳ ἰηθεῖσα.

4. Ἢν δὲ τὰ ἐπιμήνια γυναικὶ [12]χωρέῃ μὲν, ἐλάσσονα δὲ τοῦ δέοντος [13]χωρέῃ, ἅτε τοῦ στόματος τῶν μητρέων παρακεκλιμένου

[1] Δ' om. Cθ. – ἔστι δὲ καὶ ᾗσιν Gal. ib. – οἷσι J. – γίνονται θ. – γίγνονται C. — [2] τῇ μ. πρ. C. – τὴν μελέτην πρ. θ. – ξ. DHIJK. – σ. vulg. – ἢ καὶ (καὶ om. Cθ) vulg. – τἄλλ' οἱ γίγνεται C. – γίνεται (sic) δοκέει θ. – ὥστε (ὡς pro ὥστε Cθ; ὡς τῇ HIJ) ἐν vulg. — [3] μὲν Cθ. – μὲν om. vulg. – διατείναντα DGHIJK'Q', Lind. – διατείνοντα θ. – Ante ὑπὲρ addit διά τινα τὰ C. – τὸν βουβῶνα Q'. – ἀλλὰ pro ἅμα θ. – τῷ om. CDGHIKθ. – ταύτῃσι ποιήσεται DFGHIJK. – ποιήσεται Q'. — [4] καὶ om. C. – καὶ post ᾗσι θ. – ἐν τ. μ. γίγνεται C (θ, ἐνγίνεται). – ἐν om. DFGIJK. – μήτρῃσι καὶ κάτω (καὶ κατὰ τὸ Lind.; κατὰ τὸ Cθ) ὑπὲρ vulg. – κινδυνεύει C. — [5] δ' θ. – καὶ (καὶ om. Cθ) κατὰ vulg. – αὐτέῃσι CD. – αὐτέῃ (αὐτῇ Cordæus; αὐτ. om. θ) vulg. – τε καὶ πν. Cθ. — [6] τούτων θ. – Ante ἑλκ. addit καὶ C. – γίγνεται C. – καὶ κινδ. om. C. – κινδυνεύει DHJKθ. — [7] ἀλλὰ pro καὶ Cθ. – χρονικῶς pro χρὴ ὅκως C. – ὅπως θ. – γένωνται θ. – αὕτη HKθ. – καὶ ἢν ἰηθῇ θ. – γε καὶ om. C. — [8] οἱ μὴ C. – οἱ om. θ. – καταρραγῇ θ. – ῥαγῇ vulg. – διενεχθέντα ἐς ἓξ Cθ. – διενειρχθέντα ἓξ vulg. – ἅπερ ἀτόκω ἐούσῃ τὰ κ. ὁδὸν οὐκ ἠδύνατο εὑρεῖν Cθ. – ὑγρὸς pro ὑγιὴς C. — [9] εἰ Cθ. – ἐνέγκασα C. – διενέγκασα θ. – ἀποθνήσκει C. – θνήσκει vulg. — [10] φλ. χωρέοντα (χωρέωνται L, Cordæus, Lind.; ὄντα pro χ. C; χωρέει

après un avortement. Parfois aussi il se forme des ulcérations dans la matrice, et il faudra s'appliquer au traitement. Souvent il arrive que la femme paraît être grosse pendant six mois ou un peu moins, le ventre proémine, et tout semble être chez elle comme dans l'état de grossesse; puis, chez quelques-unes, les menstrues, devenues purulentes, font éruption au-dessus de l'aine, vers le cinquième ou le sixième mois, et prennent leur voie par là; parfois aussi il se forme des ulcérations dans la matrice au point au-dessus de l'aine, la femme courra risque de mourir, et, quand même elle réchapperait, elle sera stérile. En d'autres cas l'éruption se fait par les parties génitales, et il sort des matières pourries et purulentes; il en résulte des ulcérations dans la matrice, le danger est grand, et il faut, afin que les ulcérations ne deviennent pas chroniques, s'appliquer au traitement; celle-ci aussi sera stérile, même quand le traitement réussirait. Mais si les menstrues, retardées six mois, ne font pas éruption, la malade éprouvera tous les accidents qu'éprouve la femme qui n'a pas eu d'enfant et chez qui les règles ne peuvent trouver issue; si on la traite, elle guérit. Dans le cas contraire, ayant résisté jusqu'à huit mois, elle succombe. Chez plusieurs, si les menstrues sont pituiteuses, il arrive qu'elles coulent longtemps et qu'elles sont moindres que les menstrues saines. Traitée convenablement, la femme guérit.

4. (*Règles moins abondantes qu'il ne faut. Accumulation qui en résulte. Accidents.*) Les règles, venant il est vrai, sont pourtant moins abondantes qu'il ne faut; l'orifice utérin est

Vat. Codd. ap. Foes; χωρέη θ) ἐπὶ πολλὸν (πολὺν θ) χρόνου (πολλοῦ χρόνου) (addunt χωρέειν Cθ) καὶ ἐλ. vulg. — [11] κόσμῳ τῷ προσήκοντι (τῷ πρ. om. Cθ) vulg. - ῥηθεῖσα G. - τηρηθεῖσα J. — [12] χωρέει H, Ald. - ἀποφράσσεσθαι δὲ χωρέει οἷα pro ἐλ.... ἅτε (DK, ἀποφράσσεται) FG (J, χωρέη). — [13] χωρέει Ald., Frob. - οἷα pro ἅτε Hθ, Lind. - παρεγκεκλιμένου Q', Lind. - ἀρμοῖ vulg. - ἁρμοῖ Cordæus. - ἀρμᾶ CJK. - ἀρμῶ (D, al. manu ἀρμοῖ) FGHIθ. - Comp. Erot. p. 56, Gal. Gl., et la note du Suppl. du Dict. de Schneider, où l'on voit que ἀρμοῖ ou ἀρμῷ ont deux sens, l'un qui est *sur le champ, récemment*, l'autre qui est *doucement, un peu*. - ἐς τουτέωστε (sic) θ. - χωρέει Lind.

ὀλίγον τοῦ αἰδοίου ἢ ἁρμοὶ μεμυκότος ἐς τοῦτο, ὥστε χωρέειν μὲν, [1]ἀποφράσσεσθαι δὲ ἀπ' αὐτέων καὶ αἱ δίοδοι αἱ περαιοῦσαι, [2]ἐπὴν κατέλθῃ ἐς τὰς μήτρας, ἅτε τοῦ αἵματος ἐπιχειμένου τῷ στόματι αἰεὶ, προέρχεται δὴ κατ' ὀλίγον· [3]ἔπειτα δὲ ἐπὴν αἱ ἡμέραι παρέλθωσιν ᾗσι καθαίρεσθαι μεμαθήκει, καὶ ἐρχθῇ τὸ αἷμα ἐν τῇσι μήτρῃσι τὸ ὑπολειφθὲν, καὶ ἕτερα ἐπικατιόντα ἐπιμήνια μὴ ἐξωθῇ τὸ ἐρχθὲν αἷμα, ἀλλ' αἰεὶ [4]βαρύνῃ κατιὸν, ἔσται τῇ γυναικὶ ὥστε τοὺς πρώτους μῆνας ἢ ἐπὶ δύο ἢ ἐπὶ τρεῖς μὴ ἐσαΐειν χάρτα. Ἐπὴν δὲ οἱ μῆνες [5]πλέονες γένωνται, ἔτι μᾶλλον πονήσεται, καὶ [6]οὐχ ἕξει ἐν γαστρὶ μέχρις ἂν οὕτως ἔχῃ, καὶ πῦρ λήψεταί μιν μάλιστα τὰς ἡμέρας [7]ἐν ᾗσι καθαίρεσθαι μεμαθήκει, ἠπεδανόν· εἰκὸς δέ ἐστι καὶ [8]ἐν τῷ μεσηγὺ χρόνῳ πυρεταίνειν καὶ φρίσσειν καὶ καρδιώσσειν καὶ [9]ἀνάγειν ἐπὶ τὸ πλῆθος ἀνὰ πᾶσαν ἡμέρην· καὶ [10]ἀλγέει ἄλλοτε καὶ ἄλλοτε τὸ σῶμα, καὶ μάλιστα τὴν ὀσφὺν καὶ τὴν ῥάχιν καὶ τοὺς βουβῶνας, τά τε ἄρθρα τῶν χειρῶν καὶ τῶν σκελέων. Ταῦτα δὲ οὐχ ὁμοῦ ἀλγέει, [11]ἀλλ' ἄλλοτε ἄλλο, ὅπῃ ἂν βρίσῃ τὸ αἷμα ἀποκεχριμένον καὶ μὴ δυνάμενον εἶναι ἐν τῇσι μήτρῃσι· καὶ ὅπῃ ἂν στηρίξῃ τοῦ [12]σώματος, οἴδημα ἔστιν ὅτε γίνεται καὶ σπασμὸς ἰσχυρὸς τῶν ἄρθρων τοῦ σώματος, καὶ τῶν ἄλλων σημείων τῶν προειρημένων φαίνεταί οἱ ἄλλοτε [13]ἄλλο. Αὕτη ἢν μὲν θεραπευθῇ κατὰ τρόπον, ὑγιὴς ἔσται· εἰ δὲ μὴ, ἡ νοῦσος ἑπτάμηνος [14]ἢ καὶ χρονιωτέρη γενομένη θανατώσειεν ἂν, [15]ἢ χωλεύσειεν, ἢ ἀκρατέα τινὰ τῶν μερέων

[1] Ἀποφράσσεται Q', Lind. – ἐλάσσονα δὲ τοῦ δέοντος pro ἀποφρ. δὲ DFGIJK. –δ' C. – καὶ αἱ (αἱ om. C; οὐ pro αἱ H) δίοδοι ἃς (ἃς om. DFGHIJK; αἱ pro ἃς θ) περαιοῦσιν (πορέουσιν H; παρέουσιν F; περεοῦσιν DJK; παρέωσιν J; περαιοῦσαι θ) vulg. — [2] Post ἐπὴν addit γὰρ θ. – τὰ μέτρια τελείως (ἅτε pro τὰ μ. τ. C) τοῦ vulg. – ἀεὶ C. – δὴ om. θ. – ἤδη pro δὴ C. – ὀλίγα θ. — [3] καὶ ἐπὴν αἱ vulg. – ἐπειδὰν δὲ αἱ C. – ἔπειτα δὲ ἐπὴν αἱ θ. – ἐν ᾗσι C. – μεμάθηκε θ. – εἰρχθῇ vulg. – ἐρχθῇ Cθ. – εἰρχθῇ D. – ἐπικατιόντα Cθ, Lind. – ὑποκατιόντα vulg. – ἐρχθὲν vulg. – ἐρχθὲν D. — [4] βαρύνει (βαρύνῃ θ) κατ' ὀλίγον (κατιὸν pro κατ' ὀλ. C) (addunt ἔσται τῇ γυναικὶ Cθ) ἔς τε (ὥστε J; ἔς τε om. Cθ) τοὺς (addit μὲν Lind.) πρώτους μῆνας (μήνας C) ἢ (ἢ om. θ) ἐπὶ δύο ἢ ἐπὶ τρεῖς (τρὶς θ) (ἢ ἐπὶ δύο ἢ ἐ. τρ. om. C) μὴ ἐσίει (εἰσήει D; ἐσήει HK; ἐσίῃ J; ἐσαΐει Lind.; ἐσαΐειν Cθ) χάρτα vulg. – Voy. ἔσται ὥστε p. 22, l. 12. — [5] πλέωνες θ. – ἐπὶ pro ἔτι C. – πονήσει θ. — [6] οὐχ ἕξει C. – οὐκ ἴσχει vulg. – μέχρι Cθ. – οὕτω C. — [7] ἐν τῇσιν vulg. – ἐν ᾗσι CDGHIKθ, Lind. – ἢ πέδανον θ. — [8] ἐν CDFGHJKθ. – ἐν om. vulg. – μεσσηγὺ J. – πυρετταίνειν Frob., Lind. — [9] ἀλγεῖν DFGHIJKQ'. – ἀλγέειν θ. – ἀνὰ πάσας τὰς ἡμέρας Cθ. — [10] ἀλγέῃ J.

ou un peu dévié de la direction des parties génitales, ou un peu fermé, au point d'obstruer, sans empêcher tout écoulement, les voies de transmission; le sang, étant arrivé dans la matrice, presse constamment sur l'orifice, et il s'écoule peu à peu. Les jours que la purgation menstruelle a l'habitude de durer passent, le sang qui est de reste demeure retenu dans la matrice; une nouvelle époque ne chasse pas le sang retenu, et la pesanteur croît par des accessions continuelles; pourtant la malade restera, les premiers mois, deux ou trois, sans se ressentir grandement de ce dérangement. Mais quand il y aura plus de mois de passés, les souffrances augmenteront; elle ne deviendra pas enceinte tant que cet état durera; une petite fièvre la prendra, surtout aux jours de son époque; toutefois, il est probable que, dans l'intervalle aussi, elle aura de la fièvre, des frissonnements, de la cardialgie, des vomissements abondants chaque jour, de la douleur par intervalle dans le corps, surtout aux lombes, au rachis, aux aines et aux articulations des membres supérieurs et inférieurs. Elle n'a pas ces douleurs à la fois, mais tantôt l'une et tantôt l'autre, suivant que se jette le sang qui a été sécrété et ne peut rester dans la matrice. Là où il se fixe, on voit survenir parfois de la tuméfaction, un spasme violent des articulations, ou quelqu'un des signes susdits. Cette malade, traitée convenablement, guérira; sinon, la maladie, ayant duré sept mois ou même plus, causerait la mort, ou une claudication, ou

-ἀλγέειν CK. -ἀλγ. om. θ. -χειρῶν καὶ τῶν ποδῶν (σκελέων Cθ) (addit ἀλγέειν θ). Ταῦτα vulg. — [11] ἀλλ' ἄλλοτε καὶ ἄλλοτε vulg. -ἀλλὰ (ἀλλ' θ) ἄλλοτε ἄλλο Cθ. -βρήση IK. -τὸ αἷμα τὸ (τὸ om. CI). -ἀποκεκρυμμένον C. -ζέναι C. -στηρίζῃ C. — [12] αἵματος Cθ. -οἴδημα (οἴδη sic I) ἐστιν. Ὅ τε (ὅτε Cθ; ὅτὲ Lind.) γίνεται (γίγν. C). -Supprimez le point et lisez ἔστιν ὅτε. -Post ἄλλων addit δὲ θ. — [13] ἄλλο ἔστιν ὅτε (ἔστιν ὅτε om. Cθ) vulg. -Lind. joint ces deux mots à ce qui suit; il faut les supprimer avec C et θ. -ἐνθῇ C. -γίνεται pro ἔσται Cθ. — [14] ἢ om. Cθ. -χρονιωτέρη C. -γενομένη Jθ. -γίν. vulg. -θανατώσειεν Cθ. -θανατώδης εἴη vulg. -ἂν om. C. — [15] ἢ καὶ χ. JK. -ἢ ἄκρεα τινὸς τῶν μερέων ἀκρατέα π. C. -μακρά τε (sine ἢ) ἄτινος τῶν μελέων π. θ. -ῥιγέον (sic) C. -ἔνθ' θ. -ἀπέλθῃ J. -ἔλθῃ C. -ἴσχει vulg. -ἴσχῃ CJ. -ἔχῃ θ.

ποιήσειεν, ἢν ὑπὸ ῥίγεος καὶ ἀσιτίης τὸ αἷμα, ἔνθα ἂν ἐπέλθῃ, πῆξιν ἴσχῃ περὶ τὰ νεῦρα. Τοῦτο [1]δὲ τὸ νούσημα γίνεται μᾶλλον τῇσιν ἀνάνδροισιν· [2]ἢν δὲ ἐμπειροτόκῳ ταῦτα τὰ νοσήματα ἐμπέσῃ τὰ εἰρημένα ἢ ὅσσα μέλλει εἰρήσεσθαι, [3]πουλυχρονιώτερα ἔσται καὶ ἧσσον ἐπίπονα· τὰ δὲ σημεῖα ταὐτὰ καὶ τελευταὶ αἱ [4]αὐταὶ γίνονται τῇ τε ἀτόκῳ καὶ τῇ [5]λοχίων ἐμπείρῳ, ἢν μὴ θεραπεύωνται· χρὴ δὲ αὐτίκα τὴν θεραπηίην ποιέεσθαι· εἰ δὲ μὴ, [6]ἐπιφαίνεται τὰ νουσήματα.

5. Ἢν δὲ τὰ ἐπιμήνια [7]πλέονα τοῦ δέοντος χωρέῃ καὶ παχύτερα, οἷα τοῦ [8]σώματός τε φύσει εὐρόου ἐόντος καὶ τοῦ [9]στόματος τῶν μητρέων πλησίον τοῦ αἰδοίου κειμένου, καὶ ἐπὶ τουτέοισιν ἀνδρί τε [10]ξυνίῃ πολλὰ καὶ εὐωχέηται ἐσάπαξ ποτὲ, [11]πολλὰ ἄλεα κατελθόντα καὶ χωρεῦντα βύζην ἐπευρύνει μᾶλλον τὸ στόμα τῶν μητρέων βιησάμενα· καὶ [12]ἢν ἐπὶ τουτέοισι μὴ ἐπιπέσῃ κενεαγγείη, ἀλλ' αὖθις [13]πολλὰ ἐσθίῃ ἄλεα, καὶ τὸ στόμα εὐρὺ ποιέῃ, καὶ τὸ σῶμα, ἅτε εὐωχεομένης καὶ ἱμειρομένης [14]τε καὶ συνιούσης ἀνδρὶ, εὔροον ᾖ ἐπὶ τὰς μήτρας, καὶ ἄλεα ἐπιφέρηται, ἄχροός τε ἔσται μέχρις ἂν οὕτως ἔχῃ, καὶ [15]ἢν ὕστερόν τι νόσημα ἢ πάθημα ἐπιπέσῃ ὥστε τρυχωθῆναι τὸ σῶμα, ὁμοίως αἵ τε μῆτραι κατὰ τὸ εἰωθὸς εὐρύστομοί εἰσι καὶ τὸ σῶμα εὔροον ἐπ' αὐτάς ἐστιν· καὶ μετὰ ταῦτα πῦρ ἔχει, καὶ

[1] Δὲ om. C. – γίνεται τὸ νόσημα Cθ. — [2] εἰ Cθ. – δὲ (δ' C) μὴ (μὴ om. Cθ, Cordæus, Lind.) ἐμπειροτόκῳ (ἐμπειροτόκων DFGIJKθ ; ἐμπείρω τόκου C) vulg. – νουσ. Lind. – προσπέσοι Cθ. – τὰ εἰρ. om. (D, restit. al. manu) FGHIJK. – μέλλῃ vulg. – μέλλει CLθ, Cordæus, Lind. – εἰρήσεσθαι om. (D, restit. al. manu) FGHIJK. – εἰρῆσθαι θ. — [3] πολ. Kθ. – τε ἔσται Cθ. – ταῦτα vulg. – ταὐτὰ Lind. – τελευταῖα pro τελ. αἱ D (G, τελευταῖαι) IJK. — [4] ταῦτα pro αὐταὶ J (L, αὐταί). – γίγν. C. – πρωτόχω (sic) pro ἀτόκῳ C, (Vat. Codd. ap. Foes, προτοτόκω). — [5] λογιῶν C. – θεραπεύονται θ. – θεραπεύσηνται (sic) D. – θεραπεύσωνται Q'. – θεραπηίην C. – θεραπείην vulg. — [6] ἐπιφ. αὐτίκα (αὐτίκα om. DFGHIJKθ) vulg. – νοσ. CDθ. — [7] πλείονα vulg. – πλέονα θ. – χωρήσῃ θ. – οἷα om. (D, restit. al. manu) FGHIJK. — [8] στόματος θ. – φύσει τε εὐρέος vulg. – La suite montre qu'il faut lire τε φύσει εὐρόου. — [9] στομάχου Cθ. – τούτοισιν θ. — [10] σ. C. – συνῇ θ. – ἀσάπαξ (sic) J. – εἰς ἅπαξ C. — [11] πολλὰ κατελθόντα καὶ χωρέοντα vulg. – πολλὰ ἄλεα κατ. καὶ χωρέοντα θ. – πολλ' ἀλλοῖα κατ. καὶ χωρεῦντα C. – βύζην, supra lin. ἀθρόως I (K, in marg.). – ἐπευρύνει.... ἐπι [πέσῃ om., ἐπι solum deest, πέσῃ adest] D, restit. al. manu. – ἐπαυρύνει (sic) K. – βιησάμενα Cθ. – βιασ. vulg. — [12] ἢν Cθ, Cordæus, Lind. – ἢν om. vulg. – τούτοισι Cθ. — [13] πολλὰ (πολλὴ Lind.)

quelque impotence des parties, si le sang, par le fait du froid et de l'abstinence, se coagulait autour des nerfs là où il se porterait. Cette maladie survient de préférence chez les femmes non mariées; mais si ces affections ou celles qui seront dites attaquent une femme qui a éprouvé les lochies, elles seront de plus longue durée et moins douloureuses; toutefois les signes et les terminaisons seront les mêmes pour les femmes qui ont eu des enfants et celles qui n'en ont pas eu, si elles ne sont pas traitées. Il faut employer sur-le-champ le traitement; sinon, les maladies surviennent.

5. (*Règles plus abondantes qu'il ne faut. Accidents qui en résultent.*) Quand les règles sont plus abondantes et plus épaisses qu'il ne faut, c'est que la personne a un corps naturellement disposé à fluer et l'orifice utérin placé près de la vulve. En cet état, si elle a de fréquents rapports conjugaux et qu'une fois en passant elle fasse un repas copieux, les règles, descendant en abondance et marchant avec plénitude, élargissent l'orifice utérin par leur effort; cela étant, si les vaisseaux ne sont pas désemplis et qu'au contraire elle mange beaucoup derechef, l'orifice utérin devient large, le corps, attendu qu'elle mange bien, qu'elle a des désirs et qu'elle use du coït, flue vers la matrice, l'écoulement menstruel est abondant; tant qu'il en sera ainsi, la femme sera décolorée; et, si par la suite il survient quelque maladie ou quelque souffrance qui l'épuisent, la matrice n'en restera pas moins avec l'orifice élargi, et le corps avec la disposition à fluer de ce côté. A la suite vient la fièvre, l'anorexie, l'anxiété, l'amaigrissement, la faiblesse par le fait des menstrues; il y a

ἴῃ ἄλεα (ἄλεα DHIJ) vulg. – πολλὰ ἐσθίῃ ἀλλοῖα C. – Lisez ἄλεα dans C et prenez sa leçon. – ποιέει vulg. – ποιῃ (sic) θ. – ποιέῃ Lind. – τε pro ἅτε C. – ἅτε om. θ. – εὐωχουμένης vulg. – εὐωχεομένης C. – καὶ (καὶ om. vulg.) ἱμ. (καὶ ἱμ. τε om. θ) C. — [14] τε om. C. – συνεούσης vulg. – συνιούσης C, Cordæus, Lind. – ἀνδρὶ om. θ. – εὔρροον I. – ἣ vulg. – ἡ DGIKθ, Frob., Cordæus. – ἄλεα DHIJK. – ἀλλοῖα C. – ἐπιλίθηται θ. – ἄχρους vulg. – ἄχρως θ. – ἄχροος C. – μέχρι θ. – μέχρι ἣν οὕτω C. — [15] ἢν οἱ ὕστ. Cθ. – νούσ. Lind. – ὅμως Cθ. – ἔθος C.

ἀσιτέει, καὶ [1] ἀλυκτέει, καὶ λεπτὴ καὶ ἀμενηνὴ ἐκ τῶν ἐπιμηνίων, καὶ τὴν ὀσφὺν πονήσει, καὶ τοῦ χρόνου προϊόντος, ἢν μὴ θεραπευθῇ, πάντα [2] μὲν μᾶλλον πονήσει ἐν τῷ μεταξὺ χρόνῳ, καί οἱ ἔσται κίνδυνος ἀφόρῳ γενέσθαι ἢ τρυχωθείσῃ ὑπὸ χρόνου [3] τε καὶ τῆς νούσου, ἤν τί οἱ ξυμπέσῃ καὶ ἄλλο νόσημα, ἐπὶ τουτέῳ θανεῖν.

6. Χωρέει δὲ τὰ [4] καταμήνια παχύτατα καὶ πλεῖστα τῶν ἡμερέων τῇσιν ἐν μέσῳ, ἀρχόμενα δὲ καὶ τελευτῶντα ἐλάσσονα καὶ λεπτότερα. [5] Μέτρια δ' ἐστὶ πάσῃ γυναικὶ χωρέειν, ἢν ὑγιαίνῃ, τὰ ἐπιμήνια ἐλθόντα ὅσον κοτύλαι δύο ἀττικαὶ ἢ ὀλίγῳ πλέονα ἢ ἐλάσσονα, ταῦτα [6] δὲ ἐφ' ἡμέρας δύο ἢ τρεῖς· ὁ δὲ πλείων χρόνος ἢ ἐλάσσων ἐπίνοσος καὶ ἄφορός ἐστι. Τεκμαίρεσθαι δὲ [7] χρὴ ἐς τὸ σῶμα τῆς γυναικὸς ἀφορέοντα, καὶ ἐρωτᾷν πρὸς τὰ πρότερον ξυμβαλλόμενον, εἴτε ἐπίνοσα ἴοι εἴτε μὴ ἐπίνοσα· ἢν γὰρ ἐλάσσονας ἢ [8] πλέονας ἡμέρας τοῦ μάθεος φοιτέῃ, ἢ αὐτὰ [9] ἐλάσσονα ἢ πλείονα ἔῃ, ἐπίνοσά ἐστιν, ἢν μὴ ἡ φύσις αὐτὴ νοσηρὴ καὶ ἄφορος ᾖ· ἢν δὲ τοῦτο [10] ᾖ καὶ μεθίστηται ἐπὶ τὸ ὑγιηρότερον, ἄμεινον. Χωρέει δὲ αἷμα οἷον ἀπὸ [11] ἱερείου, καὶ ταχὺ πήγνυται, ἢν ὑγιαίνῃ ἡ γυνή. Ἧσι δὲ ἐν φύσει ἐστὶ πλέονας καθαίρεσθαι τεσσάρων ἡμερέων καὶ πολλὰ κάρτα χωρέει τὰ ἐπιμήνια, αὗται λεπταὶ γίνονται, καὶ [12] τὰ ἔμβρυα αὐτέων λεπτὰ καὶ ἀμαλδύνεται. Ἧσι δὲ τριῶν ἡμερέων ἔλασσον ἡ κάθαρσις γίνεται ἢ ὀλίγα χωρέει, αὗται παχεῖαι [13] καὶ εὔχροοι ἀνδρικαί τε, οὐ μνησίτοκοι δέ εἰσιν, οὐδὲ κυΐσκονται.

[1] Ἀλύκτει θ. – ἀλεκτεῖ FGIJK. – ἀλυκτεῖ (D, al. manu ἀλύει) H. – ἀλύει vulg. – ἀλυκτέει Lind. – Erot. p. 96: ἀλυκτέει, οὐχ ἠρεμεῖ. – ἀμενηνὸς θ. – καὶ τὴν ὀσφῦν (ὀσφὺν D) ἐκ τῶν ἐπιμηνίων πονήσει (χωρήσει G) vulg. – [γίνεται], καὶ τὴν ὀσφὺν ἐκ τῶν ἐπ. π. Lind. – ἐκ τῶν ἐπιμηνίων, καὶ τὴν ὀσφῦν πονήσει Cθ. – καὶ πρ. τοῦ χρ. C. — [2] δὴ pro μεν DFGHIJKQ'. – πονήσειε τῷ C. – ἀφόρῳ τε (τε om. C) vulg. – τρυχωθεῖσαν vulg. – τρυχωθείσῃ Cθ. — [3] τε om. Cθ. – νόσου IJ. – συμπ. Cθ. – νούσ. Lind. – τούτῳ θ. – θανεῖν αὐτὴν (αὐτὴν om. Cθ) vulg. — [4] ἐπιμήνια C. – παχύτατα θ. – παχύτερα vulg. – τῇ pro τῇσιν DFHIJK. — [5] μέτρι (sic) C. – δὲ θ. – ὁκόσον C. – πλείονα ἢ ἐλάττονα J. — [6] δ' C. – ἐπίνουσος vulg. – ἐπίνοσος CK. – ἐστι om. θ. — [7] ἐστιν pro χρὴ C. – ὁρέοντα vulg. – ὁρῶντα θ. – ἀφορέοντα C. – πρὸς τὸ (τὰ Lind.) πρότερον ξυμβαλλόμενον εἴτε ἐπίνοσος (ἐπίνοσον J) ἀεὶ ζῇ (ἢ pro ζῇ DFGHIK; ἢν J; ζῇ om. Ald.) (εἴη pro ἀεὶ ζῇ Vatic. Codd. ap. Foes in not., Lind.) εἴτε μή· ἢν vulg. – πρὸς τὰ πρότερον συμβαλλόμενον (συμβαλλόμενα θ) εἴτ' (εἴτε θ) ἐπίνοσα εἴη (ἴοι θ) εἴτε (ἢ θ) μὴ ἐπίνοσα· ἢν Cθ. — [8] πλείονας Cθ. – συνήθεος vulg. – μάθεος CFGHIJKθ, Ald. – βάθεος, al. manu συνήθεος

douleur aux lombes. Avec le temps, si elle n'est pas traitée, tous les accidents s'exacerberont par intervalles; et elle courra risque ou de devenir stérile, ou, s'il lui survient quelque autre maladie, d'y succomber après avoir été épuisée par la durée et par le mal.

6. (*Remarques générales sur les règles. Quantité moyenne. Qualité du sang.*) Les règles sont le plus épaisses et le plus abondantes dans les jours du milieu, mais, au début et à la fin, elles sont moins abondantes et plus ténues. Chez toute femme en santé, la quantité moyenne du flux menstruel est de deux cotyles attiques, un peu plus, un peu moins (cotyle$=0^{\text{litre}},27$); et cela, pendant deux jours ou trois; une durée plus grande ou moindre est morbide, et la stérilité s'ensuit. Il faut porter son jugement en considérant le corps de la femme, et interroger de manière à savoir par la comparaison avec les précédents si le flux est morbide ou non; si en effet il dure plus ou moins de jours que d'habitude, ou si le flux est plus ou moins abondant, il y a dérangement, à moins que la constitution même ne soit maladive et stérile. Dans ce cas, le changement se faisant en mieux, ce serait avantageux. Le sang qui s'écoule est semblable à celui d'une victime, et se coagule promptement, si la femme est en santé. Les femmes chez qui naturellement l'évacuation dure plus de quatre jours et est très-abondante, deviennent maigres; et leurs fœtus sont maigres et débiles. Celles chez qui l'évacuation dure moins de trois jours ou est peu abondante, ont de l'embonpoint, un bon teint, un aspect masculin, mais elles sont peu portées au plaisir de l'amour, et ne conçoivent guère.

D. -φοιτέη C. -φοιτᾷ vulg. —[9] ἐλάσσω C. -εἴη vulg. -ἴη θ. -ἢ D. -αὕτη CKθ. -νοσερὴ Lind. -νοσηλὴ Cθ. -ἐστιν pro ᾖ C. —[10] ἴη θ. -εἴη C. — [11] ἱερίου θ. -βραχὺ (D, al. manu ταχὺ) FGIJK. -δ' ἐμφύσει θ. -πλέονα vulg. -πλείονας C. -τεσσέρων θ. -χωρέη Cθ. —[12] τὰ om. DK. -λεπτὰ om. J. -ἀμαλδύναιται θ. -ἐλάσσων J. -χωρέη θ. —[13] τε καὶ Cθ. -ἀνδρί τε (D, al. manu ἀνδρικαί τε) FGIJK. -τε [καὶ] οὐ Lind. -μνησιτόκοι vulg. -μνησίτοκοι HIJK. -δὲ Cθ. -δὲ om. vulg. -εἰσιν, αἱ δὲ (αἱ δὲ om. J) οὐδὲ vulg.

7. Ἢν δὲ πνὶξ προστῇ ἐξαπίνης, γίνεται δὲ μάλιστα τῇσι μὴ [1] ξυνιούσῃσιν ἀνδράσι καὶ τῇσι γεραιτέρῃσι μᾶλλον ἢ τῇσι [2] νεωτέρῃσι· κουφότεραι γὰρ αἱ μῆτραι σφέων εἰσί· γίνεται δὲ μάλιστα [3] διὰ τόδε· ἐπὴν κενεαγγήσῃ καὶ ταλαιπωρήσῃ πλέον τῆς μαθήσιος, [4] αὐανθεῖσαι αἱ μῆτραι ὑπὸ τῆς ταλαιπωρίης στρέφονται, ἅτε κενεαὶ ἐοῦσαι καὶ κοῦφαι· εὐρυχωρίη γάρ σφίν ἐστιν ὥστε στρέφεσθαι, ἅτε τῆς κοιλίης κενεῆς ἐούσης· στρεφόμεναι δὲ ἐπιβάλλουσι τῷ ἥπατι, καὶ ὁμοῦ γίνονται, καὶ ἐς τὰ ὑποχόνδρια [5] ἐμβάλλουσι· θέουσι γὰρ καὶ ἔρχονται ἄνω πρὸς τὴν ἰκμάδα, ἅτε ὑπὸ τῆς ταλαιπωρίης ξηρανθεῖσαι μᾶλλον [6] τοῦ καιροῦ· τὸ δὲ ἧπαρ ἰκμαλέον ἐστίν· ἐπὴν δὲ ἐπιβάλωσι τῷ ἥπατι, πνίγα ποιέουσιν ἐξαπίνης ἐπιλαμβάνουσαι [7] τὸν διάπνοον τὸν περὶ τὴν κοιλίην. Καὶ ἅμα τε ἄρχονται ἔστιν ὅτε προσβάλλειν πρὸς τὸ ἧπαρ, καὶ ἀπὸ τῆς κεφαλῆς φλέγμα καταῤῥέει ἐς τὰ [8] ὑποχόνδρια οἷα πνιγομένης, καὶ ἔστιν ὅτε ἅμα τῇ καταῤῥύσει τοῦ φλέγματος ἔρχονται [9] ἐς χώρην ἀπὸ τοῦ ἥπατος, καὶ παύεται ἡ πνίξ. Κατέρχονται δὲ καθελκύσασαι ἰκμάδα [10] καὶ βαρυνθεῖσαι· τρυσμὸς δὲ ἀπ' αὐτέων γίνεται, ἐπὴν χωρέωσιν ἐς ἕδρην τὴν [11] σφέων αὐτέων· ἐπὴν δὲ κατέλθωσιν, ἔστιν ὅτε ἡ γαστὴρ μετ' ἐκεῖνα ὑγροτέρη γίνεται ἢ ἐν τῷ πρὶν χρόνῳ· χαλᾷ γὰρ ἤδη ἡ κεφαλὴ τοῦ φλέγματος ἐς τὴν κοιλίην. Ἐπὴν δὲ πρὸς τῷ ἥπατι [12] ἔωσιν αἱ μῆτραι καὶ τοῖσιν ὑποχονδρίοισι, καὶ πνίγωσι, τὰ λευκὰ τῶν ὀφθαλμῶν ἀναβάλλει, καὶ ψυχρὴ γίνεται· εἰσὶ δὲ [13] αἳ καὶ πελιδναὶ γίνονται ἤδη· καὶ τοὺς ὀδόντας βρύχει, καὶ σίελα ἐπὶ τὸ στόμα ῥέει, καὶ ἐοίκασι τοῖσιν ὑπὸ τῆς ἡρακλείης νούσου ἐχομένοισιν. Ἢν δὲ χρονίσωσιν αἱ μῆτραι πρὸς τῷ ἥπατι καὶ τοῖσιν ὑποχονδρίοισιν, ἀποπνίγεται ἡ γυνή. Ἔστι δ' ὅτε, ἐπὴν

[1] Σ. C. – συνούσῃσιν θ. — [2] νέοτις (sic) C. – νέῃσι θ. — [3] τότε sine διὰ vulg. – διὰ τόδε Cθ. – κενεαγγειήσῃ (sic) C. – In marg. ἀντὶ τοῦ κενὸν ἐξ ἀσιτίας γίνηται, καὶ τὸ πᾶν μὲν σῶμα, μάλιστα δὲ γαστὴρ καὶ ἔντερον θ. – πλείονα vulg. – πλέονα θ. – πλέον C. – μαθήσηος C. — [4] θερμανθεῖσαι θ. – κεναὶ CDHIθ. – ἐστί σφιν θ. – σφῆσιν pro σφίν ἐστιν C. — [5] ἐμβάλουσιν (sic) C. — [6] Ante τοῦ addit δὲ C. – ἰκμάλαιον (sic) θ. – ἐπιβάλλωσι vulg. – ἐπιβάλωσι θ. — [7] τὸ διάπνοον τῶν C. – διάπνουν vulg. – διάπνοον θ. – In marg. ἀντὶ τοῦ τὴν ἄναπνον, κοιλίαν δὲ τὸν θώρακα λέγει θ. – ἔστιν ὅτε ἄρχονται J. – καταῤῥεῖ vulg. – καταῤῥέει C. — [8] In marg. ἀντὶ εἰς τὰ ἔντερα θ – πνιγομένας C. — [9] In marg. ἀντὶ τοῦ εἰς τὴν οἰκείαν χώραν θ. – καθέλκουσαι vulg. – καθελκύσασαι θ. – ἑλκύσασαι C. — [10] καὶ om. DFGHIJ. – δ' θ. – αὐτῶν C. – In marg. ἀντὶ τοῦ ψόφος τις θ. — [11] σφέων C. – σφῶν vulg. – αὐτῶν Dθ. – δὲ (δ' θ) ἔλθωσιν vulg. – δὲ κατέλθωσιν C. – γαστὴρ om., restit. al. manu D. – χαλὰ γὰρ θ. — [12] ἐῶσιν Cθ. –

7. (*Suffocation utérine. Théorie des déplacements imaginaires de la matrice pour expliquer les divers accidents qui se produisent. Cas où la matrice se porte au foie. Cas où elle se porte au col de la vessie. Cas où elle se porte soit aux lombes, soit aux hanches.*) Suffocation utérine subite : cette affection survient surtout chez les femmes qui n'ont pas de rapports sexuels, et chez les femmes d'un certain âge plutôt que chez les jeunes; en effet leur matrice est plus légère. Voici comment cela se fait : la femme ayant les vaisseaux plus vides que d'ordinaire et ayant plus fatigué, la matrice, desséchée par la fatigue, se déplace, attendu qu'elle est vide et légère; la vacuité du ventre fait qu'il y a place pour qu'elle se déplace; s'étant déplacée, elle se jette sur le foie, y adhère, et se porte aux hypocondres; en effet elle court et va en haut vers le fluide, vu qu'elle a été desséchée à l'excès par la fatigue; or, le foie est plein de fluide. Quand elle s'est jetée sur le foie, elle cause une suffocation subite, interceptant la voie respiratoire qui est dans le ventre. Parfois, en même temps que la matrice commence à se jeter sur le foie, du phlegme descend de la tête aux hypocondres, attendu que la femme est suffoquée; et parfois, avec cette descente du phlegme, la matrice quitte le foie, retourne à sa place, et la suffocation cesse. La matrice retourne, ayant pompé du fluide et étant devenue pesante; elle produit un gargouillement en revenant à sa place. Après ce retour, il peut arriver qu'à la suite le ventre devienne plus humide qu'auparavant; car la tête laisse aller du phlegme dans le ventre. Quand la matrice est au foie et aux hypocondres et produit la suffocation, le blanc des yeux se renverse, la femme devient froide, et même quelquefois livide. Elle grince des dents; la salive afflue dans la bouche, et elle ressemble aux épileptiques. Si la matrice reste

ὑποχονδρίοισι (addunt καὶ CDFGHIJKθ, Ald.) πνίγουσι (πνίγωσι CDFGHIJK, Ald.), καὶ (καὶ om. θ) τὰ vulg. – ἀναβάλλῃ FGJ. – γίγν. C. — [13] καὶ δὲ C. – γίνονται· ἡ δὲ (ἤδη pro ἡ δὲ C) καὶ vulg. – σίαλα vulg. – σίελα – Cθ. – τὸ C. – τὸ om. vulg. – νούσου CDθ. – νόσου vulg. – συνεχομένοισιν vulg. – ἐχομένοισιν Cθ.

κενεαγγήσῃ ἡ γυνὴ καὶ ἐπιταλαιπωρήσῃ, αἱ μῆτραι στρεφόμεναι πρὸς τῆς κύστιος [1]τὸν στόμαχον προσπίπτουσι καὶ στραγγουρίην ποιέουσιν, [2]ἄλλο δὲ οὐδὲν κακὸν ἴσχει, καὶ ἐν τάχει ὑγιαίνει θεραπευομένη, ἔστι δ' ὅτε καὶ αὐτομάτη. Ἔστι [3]δ' ᾗσιν ἐκ ταλαιπωρίης ἢ ἀσιτίης πρὸς ὀσφὺν ἢ πρὸς ἰσχία προσπεσοῦσαι πόνους παρέχουσιν.

8. Ἢν δὲ γυνὴ τὸ σῶμα φλαύρως ἔχῃ καὶ ἴῃ χολώδεα τὰ [4]καταμήνια, εὔγνωστά ἐστι τῷδε· μέλανά [5]ἐστι κάρτα, ἔστι δ' ὅτε [6]μέλανα λαμπρὰ, καὶ κατ' ὀλίγιστα ἔρχεται, [7]καὶ οὐ ταχὺ πήγνυται, καὶ ὁ γόνος ἀμαλδύνεται ἀμφοῖν, τοῦ τε ἄρσενος καὶ τοῦ θήλεος, καὶ οὐκ ἴσχει ἐν γαστρὶ, καὶ ἀρχομένης μὲν τῆς νούσου, καθαίρεται [8]τὰς ἡμέρας ἃς μεμαθήκει, οὐ πλέονας· προϊόντων δὲ τῶν ἐπιμηνίων, [9]πλέονάς τε ἡμέρας καθαίρεται καὶ ἐλάσσονα τὰ καταμήνια καθ' ἑκάστην ἡμέρην φαίνεται, πυρετοί τε ἐπιγίνονται πλανῆται ὀξέες ξὺν φρίκῃ, καὶ ἀσιτίη ἄλλοτε καὶ ἄλλοτε, καὶ καρδιωγμὸς, καὶ [10]πονήσει μάλιστα ἐπὴν πλησιάζῃ τὰ καταμήνια αὐτέῃ· ἐπὴν δὲ [11]ἀποκαθαρθῇ, ῥηΐσει ἐπ' ὀλίγον χρόνον πρὸς τὰ πρόσθεν, ἔπειτα δὲ αὖθις ἐς τωὐτὸ καταστήσεται· [12]μελεδαινομένη δὲ ἐν τάχει ὑγιαίνει. Ἢν δὲ μὴ θεραπεύηται καὶ ὁ χρόνος προΐῃ, πάντα μιν μᾶλλον πονήσει τὰ πρόσθεν εἰρημένα, καὶ ὀδύνη λήψεται, τοτὲ μὲν τῆς γαστρὸς τὸ κάτω τοῦ ὀμφαλοῦ, [13]τοτὲ δὲ τοὺς βουβῶνας, τοτὲ δὲ τὴν ὀσφύν τε καὶ κοχώνην, τοτὲ δὲ τὸν τράχηλον, τοτὲ δὲ πνὶξ προσπεσεῖται [14]ἰσχυρὴ, καὶ πρὸ τῶν ὀφθαλμῶν ζόφος ἔσται οἷ καὶ

[1] Τὸ στόμα C. – τῷ στομάχῳ J. — [2] ἄλλοτε δὲ DK. – δ' Cθ. – Ante ἐν addit ἔστιν ὅτε C. – αὐτομάτησιν DFGHIKθ. – αὐτομάτως J. — [3] δ' om. θ. – καὶ pro ἢ Cθ. — [4] ἐπιμήνια θ. – συχνὰ, γνωστὰ pro εὔγνωστα C. – γνωστὰ θ. – μέλαινα K. — [5] ἐστι om. DFGHIJK. – ἐστίει (sic) pro ἐστὶ Ald. — [6] μελάνεα λαμπρὰ C (θ, λαμπρᾶ). – μέλανα ἢ λαμπρὰ vulg. – Supprimez ἢ, ou bien, en place, lisez καί. – ὀλίγα DFGHIJKθ. – ἔρχονται C. — [7] καὶ ταχύτατα (παχύτατα FG; παχύτερα DK; ταχύτερα HQ') πήγνυται vulg. – καὶ οὐ ταχὺ πήγνυνται C (θ, πήγνυται). – ἡ γονὴ θ. – ἀμαλδύναιται θ. – ἀναμαλδύνεται C. – τε om. C. – ἄρσενος CJθ. – ἄῤῥενος vulg. – νούσου CDHKθ, Lind. – νόσου vulg. — [8] τὰς.... καθαίρεται om. J. – μεμάθηκεν C. — [9] πλείονας (πλέονας C; πλέονάς τε θ) ἡμ. vulg. – πλανίται G, Ald., Frob. – πλανῖται K. – πλανητες (sic) θ. – σὺν Cθ. — [10] πονήσῃ Hθ. – πλησιάζῃ Cθ. – πλησιάζωνται vulg. – αὕτη θ. — [11] ἀποκ. καὶ (καὶ om. Cθ) ῥηΐσῃ (ῥηΐσει C; ῥαΐσῃ θ) vulg. – προσθετὰ pro πρόσθεν C, Vatic. Codd. ap. Foes in not. – αὖτις C. – ἔστω ὑποκαταστήσεται DFHI. – ἐς τὸ ὑποκαταστήσεται J. – ἐς τοῦτο ὑποκαταστήσεται K.

longtemps fixée au foie et aux hypocondres, la femme succombe étouffée. En d'autres cas, après que la femme a eu les vaisseaux vidés et éprouvé de la fatigue par surcroît, la matrice, se déplaçant, se porte au col de la vessie, et cause de la strangurie; c'est tout le mal qui en résulte; et, traitée, la malade guérit promptement, parfois même spontanément. En d'autres cas, la fatigue ou l'abstinence font que la matrice se porte vers les lombes ou vers les hanches et cause des souffrances.

8. (*Menstrues bilieuses. L'auteur en distingue deux cas : quand la femme est en mauvais état, et quand elle est en bon état. Accidents qui en résultent, entre autres un flux utérin bilieux qui amène des ulcérations. Voy.,* § 22, *un autre signe auquel l'auteur reconnaît que les menstrues sont bilieuses.*) Si la femme a le corps en mauvais état et les menstrues bilieuses, cela se connaît ainsi : les menstrues sont très-noires, parfois noires et brillantes, elles viennent très-peu à la fois, elles ne se coagulent pas promptement, la semence des deux individus, l'homme et la femme, perd sa vertu, et la femme ne devient pas grosse. Au début de la maladie, la purgation menstruelle dure le nombre habituel de jours, pas davantage; mais avec le temps elle se prolonge au delà de cet intervalle, et elle est moins abondante chaque jour; il survient des fièvres aiguës erratiques avec frisson, de l'anorexie par intervalles, de la cardialgie. Les souffrances augmentent à l'approche des règles. Les règles passées, il y a, pour un peu de temps, du mieux en comparaison de l'état antécédent; puis la situation redevient la même. Traitée, la malade guérit promptement. Mais si elle n'est pas traitée et que le mal se prolonge, toutes les souffrances susdites s'aggraveront; de la douleur surviendra tantôt dans le ventre à la région sous-ombilicale, tantôt

— [12] μελεδαινωμένη C. - μελαιδαινομένη θ. - δὲ om. C. - ὑγιασθήσεται C. - μὲν pro μεν θ. - μᾶλλον CKθ. - μάλα vulg. - προειρημένα pro πρ. εἰρ. DFGJK. - τότε (quater) I. — [13] τοτὲ δὲ τ. β. om. K. - τε om. J. - κοχώνην G. — [14] ἰσχ. om. C. - In marg. ἢ ἐξ ἀναχύσεως δηλονότι θ.

[1] δεῖνος, οἷα τῆς καθάρσιος ἄνω στελλομένης καὶ ἀνιούσης. Ἢν γὰρ τὸ σῶμα φλαύρως ἔχῃ, γυναικὶ τὰ καταμήνια ἐλάσσονα γίνεται, καὶ ἧσιν ἂν τὸ σῶμα ἔμπλεον ᾖ, τὰ καταμήνια ταύτῃσι πλέονά ἐστι· τῇ δὲ χολώδεα τὰ καταμήνια ἢν [2] ἔχηται, ὀλιγοψυχίη ἐμπίπτει, καὶ ἀποσιτίη ἄλλοτε καὶ ἄλλοτε, καὶ ἀλύκη, καὶ ἀγρυπνίη, καὶ ἐρυγγάνει [3] θαμινὰ, καὶ οὐκ ἐθέλει περιπατέειν, καὶ ἀθυμέει, καὶ ἐμβλέπειν οὐ δοκέει, καὶ δέδιεν. Καὶ ἢν μελεδαίνηται, ἐκ τουτέων ὑγιὴς ἔσται· [4] ἢν δὲ ὁ χρόνος προΐῃ, ἔτι μᾶλλον πονήσει· ξυμβαίη δ' ἂν ἄριστα, [5] ἢν ἔμετος χολώδης ἐπιγένηται, [6] ἢ ἡ κοιλίη ταραχθῇ μὴ ἰσχυρῶς καὶ ὑπίῃ χολώδεα, [7] ἢ ῥόος ἐπιγένηται αὐτέῃ μὴ ἰσχυρός· [8] ἢν γάρ τι τουτέων ἐπιπέσῃ ἰσχυρὸν ἐπὶ σῶμα τετρυχωμένον, κινδυνεύσει· ἢν δὲ ἠρεμέως ἀποκαθαίρηται τοῦ χολώδεός τι ἢ πᾶν τὸ λυπέον, ὑγιὴς γίνεται. Ἢν δὲ [9] μήτε μελεδαίνηται μήτε μηδὲν τουτέων γίνηται, ἀποθνήσκει ἡ γυνή· ὡς δὲ ἐπὶ τὸ πλεῖστον ξυμβαίνει ῥόον ἐμπίπτειν χολώδεα ἐκ τοιουτέου νοσήματος. [10] Ἢν ῥόος γένηται, τὰ μὲν πρῶτα ὀλίγα οἱ τὰ φαινόμενα ἔσται, [11] ἀνὰ πάσας δὲ τὰς ἡμέρας ὡς ἐπίπαν πλέονα ξυμβαίνει· ὁκόταν δὲ ὁ χρόνος προΐῃ, [12] ὡς ἐπιτοπλέον καὶ ἡ νοῦσος ὀξέη γίνεται, [13] καὶ αἱ μῆτραι δάκνονται ὑπὸ τῆς καθάρσιος τῆς χολώδεος χωρεούσης καὶ ἑλκοῦνται. Ἔτι δὲ καὶ ἐν τούτῳ ὑγιαίνει μελεδαινομένη, ἤν οἱ ἐρχθῇ ὁ ῥόος· ἢν δὲ φλεγμαίνωσιν αἱ μῆτραι ὑπὸ τῶν ἑλκέων, ἔτι ὀξυτέρη [14] οἱ ἡ νοῦσος ἔσται,

[1] Δεινὸς DGHIJKθ, Ald. -καθάρσηος C. -ἀναστελλομένης pro ἄνω στ. HIJKQ', Lind. – ἐλάσσονα θ. – ἐλάσσω (ἐλ. om. C) vulg. – ἐλ.... καταμήνια om., restit. al. manu D. – ἔμπλεων CGJ, Ald., Frob., Lind. – πλείονα vulg. – πλέονα C. – πλέα θ. – χολώδεϊ vulg. – χολώδει DGHIJK. – χολώδεα C, Ald. – ἢ pro ἢν C. — [2] ἔχηται Cθ. – ἔρχηται vulg. – ὀλιγοσιτίη Cθ. – ἐμπίπτῃ θ. – καὶ ἀποσ. om. Cθ. – ἀλυσμὸς vulg. – ἀλυσμὸς DIK, Lind. – In marg. ἀπορία, ῥιπτασμὸς H. – ἀλύκη C (θ, ἀλ.). – Erot. p. 48 : ἀλύκη, ἀπορία μετὰ χασμῆς. – Gal. Gl. : καὶ ἡ ἀλυχὴ (sic) δὲ ταυτὸν τούτῳ (τῷ ἀλυσμῷ). — [3] καὶ θαμινὰ οὐκ C. – ἐθέλῃ C. – In marg. ἀντὶ τοῦ οὐ δύναται θ. – περιπατεῖν θ. – ἀθυμέειν J. – μελαιδένηται θ. – τούτων Cθ. – γίνεται pro ἔσται Cθ. — [4] ἔστι pro ἢν C. – ἐπὶ pro ἔτι Cθ. – πονήσῃ θ. – συμβ. Cθ. — [5] εἰ θ. – ἐπιγένοιτο αὔτη μὴ ἰσχυρὸς καὶ ὑπίη χολῶδες καὶ ῥοὺς (sic) θ. — [6] ἢν ἡ (ἢ pro ἢν ἡ C) κ. vulg. – Lisez ἢ ἡ. – ταραχθείη C. — [7] καὶ vulg. – Cordæus lit ἢ, et il a raison. – ἐπιγένοιτο C. – αὐτέη C. – αὐτῇ vulg. — [8] ἢν μὴ (μὴ om. Cθ; μὲν pro μὴ FGK, Frob., Cordæus, Lind.) γὰρ vulg. – τουτέων (τούτων θ) τι Cθ. – ἰσχ. ἐπιπέσῃ θ. – ἰσχ. om. C. – τετρυχομένον θ. – ἠρεμαίως H. – ἠρεμαίως C. – τι τοῦ χολ. θ. — [9] μὴ θ. – μελαιδένηται θ. – Post μηδὲν addit τι H. – γίγνεται C. – γίγνηται θ. γένηται vulg. – ἀποθνήσκει θ. – θνήσκει vulg. – δ' C. – τὸ πλέον θ. – συμβ.

aux aines, tantôt aux lombes et aux hanches, tantôt au cou. Parfois une suffocation violente saisit la malade; ténèbres devant les yeux, vertige, vu que la purgation remonte et se porte en haut. Chez la femme dont le corps est en mauvais état, les règles sont mauvaises; chez celle dont le corps est plein, elles sont plus abondantes; en ce cas, si les règles bilieuses (*voy.* § 9) sont supprimées, il survient des défaillances, de l'inappétence parfois, de la jactitation, de l'insomnie; la malade a de fréquentes éructations; elle ne veut pas marcher, elle est découragée, ne paraît pas voir, et est en proie à la crainte. Soignée, elle en guérira. Mais, si le temps se perd, les souffrances s'aggravent. Le meilleur événement serait qu'il survînt un vomissement bilieux ou un dérangement de ventre bilieux et non violent, ou un écoulement de sang non considérable; car, si une de ces évacuations était violente en un corps déjà épuisé, il en résulterait du danger; au lieu qu'avec une évacuation modérée qui emporte partie de l'humeur bilieuse ou toute l'humeur peccante, la femme guérit. Mais, quand elle n'est ni traitée ni soulagée par une de ces solutions, elle succombe. Toutefois, la plupart du temps, il arrive qu'une telle maladie amène un écoulement bilieux. Si l'écoulement s'établit, d'abord il est peu abondant, mais chaque jour il va croissant en général. Se prolongeant, la maladie devient aiguë la plupart du temps, la matrice est irritée par le flux bilieux et s'ulcère. A ce point encore, la malade guérit, si l'écoulement est arrêté. Mais, quand la matrice s'enflamme par le fait des ulcérations, la maladie devient encore plus

Cθ. – ξυμβ. ἐπὶ τὸ πλ. DGHIJK. – ἐκ τοῦ τοι. C. – τοιούτου θ. – νουσ. Lind. — [10] χῆν C. – In marg. ἐνταῦθα τὸ πάθος νοῶ θ. – καὶ ἢν ῥόος ἐγγένηται θ. – κατὰ (τὰ pro κατὰ Cθ) μὲν (addunt τὰ Q', Lind.) πρῶτα (πρῶτον J) vulg. — [11] κατὰ J. – πλέονας C. – συμβ. Cθ. – ὅταν θ. — [12] ἐπὶ πλέονα sine ὡς Cθ. – ὀξείη vulg. – ὀξέη θ. – ὀξεῖα C. – γίνηται vulg. – γίνεται CJKθ, Cordæus, Lind. — [13] καὶ om. DFH (I, erasum al. manu) K. – καθάρσηος C. – ἑλκοῦται J. – ὑγιαίνεται C. – ὑγιαίνη Lind. – μελαινομένη θ. – οἱ om., restit. al. manu D. – ἐρχθῇ vulg. – ἐρχθῇ D. – ὀρθὸς pro ὁ ῥόος θ. — [14] οἱ (οἱ om. vulg.) ἡ Cθ. – φλμαζία (sic) C. – ἴχωρ θ, Vatic. Codd. ap. Foes, Lind. – ἴχωρ om. vulg.

καὶ πολλά τε καὶ ὀδμαλέα καὶ πυώδεα ἐλεύσεται ἀπ' αὐτέων τῶν μητρέων, ἤδη ἀπιόντα καὶ ἑκάστοτε οἷον ἀπὸ κρεῶν ἴχωρ, καὶ τὰ πρότερον εἰρημένα [1] ἅπαντά μιν μᾶλλον πονήσει, καὶ τὰ ἕλκεα ἔτι μᾶλλον ἀγριώτερα ἔσται μέχρι [2] μιν ἀπενείκη· ἢν δὲ καὶ ἰηθῇ, ἄφορος ἔσται ἀπὸ τῶν οὐλέων.

9. Ἢν δὲ γυνὴ [3] τὸ σῶμα φλαύρως ἔχῃ καὶ ἢν φλεγματώδης ᾖ, τὰ ἐπιμήνια χωρήσει οἱ φλεγματώδεα· γνωστὸν δέ ἐστιν [4] ἢν χωρέῃ φλεγματώδεα· ὑμενώδεά τε γὰρ φαίνεταί οἱ, καὶ ὥσπερ ἀράχνια ἐνδιατείνεται, καὶ ὑπόλευκά ἐστι. Τοῦτο δὲ γίνεται, [5] ἢν οἱ τὸ σῶμα καὶ ἡ κεφαλὴ φλέγματος πεπληρωμένα ᾖ, καὶ [6] τοῦτο μὴ ὑποκαθαίρηται μήτε κατὰ τὰς ῥῖνας μήτε κατὰ τὴν ἕδρην μήτε κατ' οὐρήθρην, ἀλλ' ἐν τοῖσι καταμηνίοισι καὶ ἐν τῷ ταράχῳ τοῦ αἵματος σὺν τῇ καθάρσει ἔξω [7] ἴῃ· καὶ ἢν ταῦτα ὧδε ἔχῃ, ἐπὶ μὲν δύο ἢ τρεῖς μῆνας οὐκ ἐσαΐει, ἐπὴν [8] δὲ ὁ χρόνος πλέων γένηται καὶ μὴ μελεδαίνηται, μᾶλλον πονήσει, καὶ πυρετὸς ἐπιλήψεται πλάνος, καὶ ἀσιτήσει ἄλλοτε καὶ ἄλλοτε, καὶ καρδιώξει, καὶ πονήσει μάλιστα ἐπήν [9] οἱ πλησιάζῃ τὰ ἐπιμήνια· ὁκόταν δὲ ἀποκαθαρθῇ, ῥηΐζει ἐπ' ὀλίγον χρόνον πρὸς τὰ πρόσθεν, ἔπειτα ἐς τωὐτὸ καθίσταται, καὶ ἢν μὴ μελεδαίνηται [10] καὶ ὁ χρόνος προΐῃ, γενήσεται πάνθ' ὅσα περ εἰ χολώδεα ἐχώρεε τὰ καταμήνια, ἄχρις οὗ ὁ ῥόος οἱ εἴχετο. Ἕπεται δὲ [11] ταύτῃ

[1] Πάντα Cθ. – μην (sic) C. – ἐπὶ pro ἔτι θ. — [2] μὴν C. – ὑπερνικῇ vulg. – ἀπενείμη, al. manu ὑπερνικεῖ D. – ὑπενείκη C, Ald. – ἀπενείκη FGHIJK. – ἀπενίκη θ. – ἢν Cθ. – εἰ vulg. — [3] τὸ σῶμα om. Vatic. Codd. ap. Foes in not. – καὶ ἢν (εἰ L, Cordæus, Lind.) φλεγματώδεα (φλεγματώδη GHIJK) τὰ ἐπιμήνια χωρήσῃ, γνωστὸν δέ (ὧδέ pro δέ L, Cordæus, Lind.) ἐστιν vulg. – καὶ ἢ φλεγματώδης, οἱ τὰ ἐπιμήνια χωρέει φλεγματώδεα Vatic. Codd. ap. Foes in not. – καὶ ἢ φλεγματώδης (φλεγμ. ἢ θ), τὰ καταμήνια χωρήσει οἱ φλεγματώδεα, γνωστὸν δέ ἐστιν (C, sine γν. δέ ἐστιν) θ. — [4] ἢν χ. φλ. om. C. – ἢν γὰρ χωρέῃ L, Cordæus, Lind. – τε om. Cθ. – καὶ pro τε (D, restit. al. manu) HIJK. – γὰρ om. Cordæus, Lind. – οἱ om. Cθ. – ἐνδιατείνεται C. – διατείνεται vulg. — [5] ἐὰν αὐτῷ pro ἢν οἱ τὸ σ. καὶ DFGI (J, αὐτῇ) K. – οἱ om. H. – καὶ om. Ald. – πεπληρωμένη DFGIJK. – πλέη C. – πλέα θ. — [6] τὸ φλέγμα θ. – ὑποκαθαίρητε (sic) D. – ἀποκαθαίρηται C. – καθ' ἕδρην Cθ. – ἕδραν IJ. — [7] ἥκει vulg. – ἴῃ Cθ. – ταύτῃ C. – οὐδὲν νοσέει vulg. – οὐκ ἔσω ἴῃ θ. – οὐκ ἐσαΐει C. — [8] δ' θ. – πλείων vulg. – πλέων θ. – γίνηται H. – γίγνεται C. – μελαιδένηται θ. – πλανήτης καὶ ἄσιτα ἔει (sic) C. – καρδιώσσει DFGHIJK. — [9] οἱ CFGHIJθ, Ald. – οἱ om. vulg. – πλησιάζει J. – ὅταν θ. – ῥήϊα (ῥήϊ' GIJ) ἀπὸ (ἀπ' GIJ; ἐπ' DK) ὀλίγων χρόνων vulg. – ῥηΐζει (ῥαΐζει θ) ἐπ' (ἀπ' C) ὀλίγον

καὶ ῥόον φλεγματώδεα γίνεσθαι, ἢ [1] ἄλλα ἅσσα ἐγὼ ἐρέω ὀλίγῳ ὕστερον· καὶ ἢν προσεπιγένηται, αἰεὶ πορεύεται ἀνὰ πάσας τὰς ἡμέρας, ὁτὲ μὲν ἀθρόα, ὁτὲ δὲ ὀλίγα, καὶ ἔστιν ὅτε οἷον [2] ἀπὸ κριθέων ὕδωρ χωρέει, ὁτὲ δὲ οἷον ἰχὼρ, καὶ ἐν αὐτέῳ θρόμβοι πολλοὶ αἵματος ἐγγίνονται, καὶ ξύει τὴν γῆν ὡς ὄξος, καὶ δάκνει τῆς γυναικὸς [3] ᾗ ἂν ἐπιψαύσῃ, καὶ ἑλκοῖ τὰς μήτρας. Καὶ ἐλθοῦσα ἐς τοῦτο τὰ μὲν ἄλλα πάσχει [4] τὰ αὐτὰ ὡς ἡ προτέρη· ἧσσον δὲ τὴν κεφαλὴν ἐκείνης πονήσει, καὶ τὰ ἕλκεα οὔτε δυσειδέα οὔτε μεγάλα οὔτε πυώδεα οὔτε ὀδμαλέα ὁμοίως [5] κείνῃ γίνεται, ἀλλὰ ταύτῃ ἧσσον· ἐπιμελεδαινομένη δὲ ὑγιαίνει καὶ προεληλυθυίης τῆς νούσου, καὶ οὐ μάλα ἀποθνήσκει, φορὸς δὲ οὐ δύναται εἶναι ὧδε ἔχουσα.

10. [6] Ὁκόσαι δὲ ξυνοικεῦσαι οὐ δύνανται ἐν γαστρὶ ἔχειν, πυθέσθαι χρὴ εἴ σφιν ἐπιφαίνεται τὰ καταμήνια ἢ οὔ, [7] καὶ εἰ αὐτίκα ἄπεισιν ἡ γονὴ [8] ἢ τῇ ὑστεραίῃ ἢ τῇ τρίτῃ ἢ τῇ ἕκτῃ ἢ τῇ ἑβδόμῃ· [9] ἢν μὲν οὖν φῇ αὐτίκα ἀπιέναι ὅταν εὐνασθῇ, τὸ στόμα οὐκ ὀρθόν ἐστι

[1] Ἀλλ' ὅσ' ἐγὼν C. – ὀλίγον CDJK0. – ὀλίγα J. – Post ἢν addunt ῥόος C0. – ἐπιγένηται 0. – ἀεὶ πορεύσεται C. – τὰς om. HIK0. — [2] ἀπὸ κρεῶν vulg. – ἀκοκρίων (sic), in marg. ἀντὶ τοῦ κριθῶν πλύματος 0. – Lisez κριθέων. – αὐτῷ CJ0. – πολλοὶ om. J. – ὥσπερ C0. — [3] οἱ vulg. – οἱ Ald. – ᾗ CL0, Cordæus, Lind. – πάσχῃ J. — [4] ταύτῃ vulg. – ταῦτα 0. – αὐτὰ Lind. – αὐτὴ Cordæus. – τὰ αὐτὰ C. – ὥσπερ καὶ ἡ 0. – κείνης C. – δυσίδεα 0. – δυσίχτα C. – πυρώδεα C — [5] ἐκείνῃ DHK. – γίγν. C. – ἐπιμελαινομένη G. – ἐπιμελομένη C0. – προεληλυθείης G. – προεληλυθύης I. – προεληλυθείσης (sic) C. – θνήσκει C. – Post ἔχουσα addit ἢν δέ οἱ ῥόος μὴ γένηται, συμβήσεταί οἱ ὥστε δοκέειν ἐν γαστρὶ ἔχειν καὶ ταῦτα πείσεται ἅπερ τόκῳ τὰ καταμήνια ὁδὸν οὐκ ἠδύνατο εὑρεῖν ἢ παχέα καὶ γλίσχρα καὶ κολλώδεα ἴῃ C. – ἢν δέ οἱ ῥόος μὴ γένηται, συμβήσεταί οἱ ὥστε δοκέειν ἐν γαστρὶ ἔχειν μισγομένη τε ἀνδρὶ ἀλγέει ὥσπερει ὑπ' ἀκάνθης κεντοῖτο· καὶ βρίθος ἐν τῇ γαστρὶ ἐπιγίνεται· καὶ ἡ γαστὴρ πρόκειταί οἱ καὶ μετεωρίζεται ὁμοίως ὥσπερει ἐν γαστρὶ ἔχουσα καὶ καρδιάζει· ἐπὴν ἡμέραι τριάκοντα μάλιστα ἐῶσι· καὶ πόνον ἴσχει ἄλλοτε καὶ ἄλλοτε τῆς γαστρὸς τὸ (correctum ex τῷ) κάτω τοῦ ὀμφαλοῦ καὶ τὸν τράχηλον καὶ τοὺς βουβῶνας καὶ τὴν ὀσφῦν· καὶ ὅταν δύο μῆνες γένωνται ἢ τρεῖς, ἐρράγη οἱ κατὰ τὸ αἰδοῖον τὰ καταμήνια ἀθρόα καὶ δοκέει οἱ ὥσπερ σαρκία εἶναι τὰ ὑπιόντα ὥσπερ ἐκ διαφθορῆς καὶ μέλανα· ἔστι δ' ᾗσιν ἕλκεα γίνεται ἐν τῇσι μήτρῃσι· καὶ δεήσεται τὴν μελέτην προσέχειν· πολλῇσι δὲ συμβαίνει ὥστε δοκέειν ἓξ μῆνας ἔχειν ἐν γαστρὶ ἢ ὀλίγῳ ἐλάσσονα χρόνον· καὶ ἡ γαστὴρ πρόκειται, καὶ τὰ αὐτὰ γίνεται ὥσπερ ἐν γαστρὶ ἐχούσῃ· ἔπειτα ἔστι μὲν ᾗσι διάπυα ἐρράγη ὑπὲρ τοῦ βόμβωνος (sic) ἅμα πέμπτῳ ἢ ἕκτῳ μηνί· καὶ ὀδὸν ταύτῃ ποιέεται, καὶ λκεα ἐν τῇσι μήτρῃσιν ἐγγίνεται, καὶ περὶ βουβῶνας, καὶ κινδυνεύσει ἀποθανεῖν· ἢν δὲ καὶ περιγένηται, ἄφορος ἔσται· ἔστι δὲ ᾗσι κατὰ τὸ αἰδοῖον

τῆς μήτρης, [1]ἀλλ' ἰδνοῦται καὶ οὐ λάζυται τὴν γονήν· ἢν δὲ φῇ δευτέρη ἢ τρίτη, ἡ ὑστέρη ἐξυγρασμένη ἐστὶ καὶ ἡ γονὴ ἐκπλύνεται· [2]ἢν δὲ ἕκτη καὶ ἑβδόμη, ἡ γονὴ κατασήπεται, κατασαπεῖσα δὲ ἀπέρχεται. Τοῦ μὲν [3]οὖν ἀρχὴν μὴ προσδέχεσθαι τὴν γονὴν, τῆς ὑστέρης τὸ στόμα θεραπευτέον πρῶτον, ὅχως ὀρθὸν ἔσται· τοῦ δὲ καταπλύνεσθαι δευτεραίῃ [4]καὶ τριταίῃ, ἡ ὑστέρη [5]καὶ ἡ κεφαλή· τοῦ δὲ κατασήπεσθαί τε καὶ ἀπέρχεσθαι, καὶ ἡ ὑστέρη καὶ τὸ σῶμα ἅπαν ἔνυγρον ὄν. Τουτέων ἕκαστα [6]γινώσκειν ὧδε χρή.

11. Ὁκοίης δὲ χρήζει καθάρσιος, [7]γνώσῃ ὧδε· ὅταν τὰ ἐπιμήνια γίνηται, ῥάκος πτύξας ὅσον σπιθαμῆς, [8]ἐπιτανύσαι ἐπὶ σποδιὴν λεπτήν· κἄπειτα [9]ποιέειν ὡς ἐπὶ τοῦτο ἐπιῤῥυῇ τὰ ἀπιόντα· εἶναι δὲ δύο τὰ τρυχία χωρὶς ἑκάτερα, [10]τὰ μεθ' ἡμέρην τε καὶ νύκτωρ· [11]καὶ τὰ μὲν ἡμερήσια πλύνειν χρὴ τῇ ὑστεραίῃ, τὰ δὲ νύκτωρ, ὁκόταν αὐτέοισιν ἡμέρη καὶ [12]νὺξ γένηται, ἐπὶ τῇσι σποδιῇσι κειμένοισιν· ἐν δὲ τῇ πλύσει σκέπτεσθαι [13]ὁκοῖα ἄσσα γίνεται τὰ ῥάκεα πλυθέντα, ὅταν ἐν ἡλίῳ τέρσηται· κράτιστον [14]δὲ ἐν σκοταίῳ χωρίῳ. Ἢν μὲν οὖν φλέγμα ᾖ τὸ κωλῦον, μυξώδεα τὰ ῥάκεα ἔσται· ἢν [15]δὲ ἅλμη τε καὶ χολὴ, πυῤῥά τε καὶ ὑποπέλιδνα. Ταῦτ' οὖν ἐσιδὼν, καὶ γνώμῃ[16] σκεθρῇ βασανίσας, ὅλον τὸ σῶμα ἀθρέειν, ἤν τε πολλῆς καθάρσιος δοκέῃ δεῖσθαι, ἤν τε μὴ, ἀποσκεψάμενος ἐς τὴν χροιὴν καὶ τὴν ἡλικίην καὶ ῥώμην καὶ ὥρην καὶ οἵῃ διαίτῃ χρέονται· ἰητρείῃ δὲ καὶ τοῦ σώματος παντὸς [17]προνοεῖσθαι, καὶ τὰς ὑστέρας καὶ τὸ στόμα

[1] Ἀλλὰ Cθ. – λάζεται CDθ. – δευτεραίῃ vulg. – δευτέρη CDH. – τριαίῃ vulg. – τρίτη Cθ. – ἢ τεταρταίῃ (ἢ τετ. om. CDFGHIJKθ, Ald.), ἡ ὑστέρη (ἢ ὑστεραίῃ CDFGHIJK, θ ὑστέρη, Ald.) ἐξυγρασμένη (ἐξυγρευσμένη sic C) ἐστὶ vulg. — [2] ἐὰν δὲ ἕκτη εἴτε καὶ ἑβδόμη C. – ἢν δὲ (δὲ om., restit. al. manu post ἑκταίῃ D) ἑκταίῃ καὶ ἑβδομαίῃ vulg. — [3] οὖν om. J. – τὸ στόμα τῆς ὑστέρας J. – ὑστέρας CDGHIK. – τὸ σῶμα θεραπευταῖον θ. – ὅπως θ. — [4] καὶ τρ. om. C. — [5] καὶ om. GJ. – ἡ C. – ἡ om. vulg. – τοῦδε κατασήπεταί τε καὶ ἀπέρχεται C. – ἔνυγρον ὂν om. θ. – ὂν om. C. — [6] γίγν. C. – ὁποίης θ. – δὲ om. θ. – καθάρσηος C. — [7] γνώσηται vulg. – γνώσεται DJ, Cordæus, Lind. – γνώσῃ CHK. – Post γν. addit δὲ θ. – γίνεται vulg. – γίνηται DGHIJKθ. – γίγνηται C. – ῥακους (sic) θ. – πτύξασθαι οὗ (sic) σπ. C. – σπιθαμὴν θ. — [8] καὶ ἐπ. C. – ἐπιταννύσαι G, Frob. – σποδίην GHIK, Ald., Frob. – κἄπιτα θ. — [9] ποιέειν ἐπὶ τούτῳ ὡς ἐπιῤῥυῇ vulg. – ποιέειν ὡς ἐπὶ τοῦτο ἐπιρυῇ θ. – Ante τὰ addit ἤδη J. – ἐπιόντα C. – τριχία DJ. – Supra lin. πτυχία K. – ἐφ' (ἐφ' om. θ) ἑκ. vulg. — [10] τὸ vulg. – τὰ θ. — [11] καὶ om. θ. – ὁπόταν αὐτοῖσιν θ. — [12] νύκτωρ vulg. – νὺξ θ. – τοῖσι D. – τῇ σποδιῇ θ. – σποδίῃσι GHIK, Frob. — [13] ὁποῖα θ. – ὁκοῖ' C. – γένηται

et ne prend pas le sperme. Dit-elle que c'est le second ou le troisième jour, la matrice est humide, et le sperme est balayé par le liquide. Dit-elle que c'est le sixième et le septième, le sperme se putréfie, et, putréfié, il sort. Pour le cas où tout d'abord le sperme n'est pas reçu, il faut en premier lieu s'occuper de l'orifice utérin, de manière à le redresser; dans le cas où le sperme est balayé le second ou le troisième jour, de la matrice et de la tête; dans le cas où il se putréfie et sort, de la matrice et du corps entier, lequel est humide. Tels sont les signes par lesquels ces trois cas se distingueront.

11. (*Traitement du cas où le sperme n'est pas retenu parce que le corps entier est en cause.*) Quant à la purgation qui convient, on la déterminera ainsi : au moment des règles, on plie un linge en plusieurs doubles, de manière qu'il soit de la grandeur d'un empan, et on l'étend sur de la cendre légère; puis on s'arrange pour que le flux tombe dessus. On aura deux de ces tampons, l'un pour le jour, l'autre pour la nuit; celui du jour, on le lavera le lendemain; celui de la nuit, quand un jour et une nuit auront passé dessus; bien entendu qu'ils seront restés sur la cendre. Après le lavage, on remarquera ce que deviennent ces linges, séchés au soleil, ou, mieux encore, dans un lieu obscur. Si c'est la pituite qui fait obstacle, le linge sera taché de pituite; si c'est la salure et la bile, il sera rouge et sub-livide. Cela étant vu et soumis à un examen attentif, on portera le regard sur tout le corps pour décider s'il réclame ou non une évacuation abondante, prenant en considération la couleur, l'âge, la force, la saison, le régime. Le traitement, qui s'occupe du corps entier, s'occupe aussi de

vulg. - γίνεται θ. - γίγνεται C. - ἐν ἡλικίῃ πέρσηται (D, restit. al. manu) FGIK. — [14] δ' θ. - σκοταίω Cθ. - σκοτιαίῳ vulg. - τὰ ῥ. μυξ. C. — [15] δὲ δι' ἅλμην τε καὶ χολὴν vulg. - δὲ ἅλμη τε καὶ χολὴ θ. - πυρὰ D. - τοῦτο γοῦν J. — [16] σκεορη (sic) θ. - βασανίσας, (addit ἐς C) ὅλον τε (τε om. θ) τὸ vulg. - καθάρσηος C. - δοκέει J. - ἤν τε καὶ (καὶ om. CDFGHIJKθ) μὴ vulg. - ὑποσκεψάμενος θ. — [17] πρ. om. C (D, restit. al. manu) FGHIKθ, Ald. - καὶ τῆς ὑστ. om. θ. - σῶμα pro στόμα Vatic. Codd. ap. Foes in not.

ἰῆσθαι· καὶ ἢν [1] μὲν μεμυκὸς ᾖ, ἀναστομῶσαι· ἢν δὲ λοξωθέωσιν, ἐξιθύνειν χρή· ἢν δὲ ὑγραὶ ἔωσιν, αὐαίνειν, καὶ τἄλλα δρῆν ἐναντίον. Σχεδὸν [2] δὲ πάσῃσιν ἡ πολλὴ θεραπείη ἡ αὐτή ἐστι, πλὴν τοῦ κατασπάσαι τὰ ἐμμήνια· ὅσῃσι γὰρ γίνεται, οὐδὲν δεῖ [3] ταύτῃσι κατασπᾶν, ἀλλ' ὅ τι κακὸν ἐν τοῖσιν ἐπιμηνίοισιν ἔνι, τοῦτο ἀφαιρέειν χρὴ, ὅταν φλεγματώδεα καὶ ὑμενώδεα [4] ἴῃ καὶ χολώδεα καὶ ἰχωροειδέα καὶ λεπτὰ ἢ λευκὰ καὶ θρομβοειδέα, καὶ ὅταν μέλανά τε καὶ ἀνθρακώδεα, ἢ ζοφοειδέα, ἢ δριμέα, ἁλμυρὰ, θολερὰ, πυώδεα. Αὗται πᾶσαι αἱ προφάσιες ὑπεξαιρετέαι· κωλύουσι γὰρ λαμβάνειν ἐν γαστρί. [5] Ὁκόσα μὲν οὖν φλεγματώδεα καὶ ὑμενοειδέα τῶν ἐπιμηνίων ἐστὶ, καὶ αὗται σαρκώδεές εἰσι, [6] ταύτῃσι τὸ στόμα ἔξυγρον, καὶ πτύελον πουλὺ καὶ γλίσχρον, καὶ ἢν ὀξέος γεύηται ἢ δριμέος, τὸ πτύελον ἐν τῷ στόματι πλαδωδέστερόν τε ἔσται καὶ ἄναλτον, καὶ πρὸς πᾶν ὅ τι ἂν φάγωσιν ἢ πίωσιν ὄχλος προσίσταται αὐτέῃσι, καὶ [7] ἀείρεται ἡ κοιλίη, καὶ ναυσίη, καὶ ἀλυσμὸς πουλύς· ἀπό τε κεφαλῆς ῥεῦμα καταῤῥέει, καὶ πάντ' ἐμπλάσσεται, καὶ πολλὴν ὑγρασίην ἐπάγεται, καὶ τὰ ὑποφθάλμια πελιδνὰ καὶ πεφυσημένα. Ταύτας χρὴ ὅλας [8] πυριῆν, καὶ πυκνὰ ἐμέειν καὶ ἀπὸ σιτίων καὶ [9] ἀπὸ νηστείης· μαλάσσειν δὲ τὴν κάτω κοιλίην φαρμάκοισι πάμπαν κούφοισιν, ὁκόσα ἥκιστα χολὴν ἄγει, καὶ μονοσιτέειν, καὶ γυμνάζεσθαι συχνὰ, καὶ ὡς [10] ξηροτάτῃ τροφῇ διαιτᾶσθαι, καὶ ποτῷ ἐλαχίστῳ ἀκρητεστέρῳ· κοιλίη δὲ εὔλυτος ἀμείνων διαφυλάσσεσθαι. Τὰς [11] δὲ ὑστέρας χρὴ, ἢν μὴ πρὸς ταύτην τὴν διαίτην ἐνακούωσι, καθαίρειν φαρμάκοισιν ἀδήκτοισι προσθέτοισιν· προπυριῆν δὲ πρὸ τῶν καθαρσίων [12] αἰεὶ, πρότερον μὲν τῇ πυρίῃ τῇ ἐκ τῶν μαράθρων, ἔπειτα δὲ τῇ ἐκ

[1] Μὲν C. – μὲν om. vulg. – λοξωθῶσιν θ. – λοξοθέωσιν DHK. – λοξῶς θέωσιν J. – δοξοθέωσιν C. – ἐξιθύειν vulg. – ἐξιθύνειν DGIJK, Ald., Cordæus, Lind. – ἐξιουνειν (sic) θ. – ἐῶσιν C. – ὦσιν θ. – δρᾷν vulg. – δρῆν C. — [2] δὴ GIJK. – πάσαις θ. – αὐτίη C. – κατασπᾶσαι CDGK, Lind. – ἐπιμήνια CQ'θ. – ὅσοισι C. – ὅσαις θ. – γίγν. C. — [3] ταῦτα θ. – ὅτι vulg. – Lisez ὅ τι avec Cordæus. – ἔννι G. – ἐν εἶσι pro ἔνι C. – χρὴ ante τοῦτο C. – χρὴ καὶ ὅταν μὲν φλ. θ. – τε (τε om. θ) καὶ vulg. – καὶ ὑμεν. om. (D, restit. al. manu) FGIJK. — [4] Ἴῃ θ. – ἴῃ om. vulg. – καὶ χολώδεα Cθ. – καὶ χολ. om. vulg. – χωροειδέα (sic) τε C. – ἀλυκὰ pro λευκὰ C. – ζωφοειδέα δριμεαλμυρὰ (sic) θ. – προφάσιες C. – ὑπεξεραιτέαι θ. – ὑπερεξαιρεταίαι (sic) G. – ὑπερεξαιρετέαι vulg. — [5] ὁπ. θ. – τε καὶ θ. – ὑμενώδεα C. – εἰσὶ J. — [6] καὶ (καὶ om. θ) ταύτῃσι vulg. – σῶμα Vatic. Codd. ap. Foes. – ἔξυδρον θ. – πτύαλον (bis) θ. – πλαδαδώτερον (sic) C. – πρὸς πάντα ὅ τι δ' ἂν θ. – ὄχλος καὶ προσίστηται (προσίσταται

la matrice et de son orifice. S'il est fermé, on l'ouvrira ; si elle est déviée, on la redressera ; si humide, on la desséchera, et ainsi du reste, par le contraire. Chez toutes, le gros du traitement est à peu près le même, sauf l'emploi des emménagogues ; car, lorsque les règles viennent, il n'y a pas lieu de les provoquer, il faut seulement ôter ce qui y est mauvais, par exemple l'état pituiteux, membraneux, bilieux, ichoreux, ténu, blanc, grumeleux, noir, charbonneux, sombre, âcre, salé, trouble, purulent. Toutes ces conditions morbides doivent être enlevées ; car elles empêchent la grossesse. Quand les règles sont pituiteuses et membraneuses, et que la femme est charnue, la bouche est très-humide, une salive copieuse et gluante y abonde. Si la femme prend du vinaigre ou quelque chose d'âcre, la salive devient plus liquide et plus insipide. Tout ce qu'elle mange ou boit provoque un nouveau malaise ; le ventre se gonfle ; nausées, beaucoup d'anxiété. De la tête descend de la pituite qui obstrue tout et amène beaucoup d'humidité. Le dessous des yeux est livide et soufflé. Dans ce cas, on prescrira des bains de vapeurs entiers et de fréquents vomissements tant avec nourriture qu'à jeun. On amollira le ventre inférieur à l'aide de purgatifs très-légers qui ne seront aucunement cholagogues. La femme ne fera qu'un repas par jour ; elle s'exercera fréquemment, usera du régime le plus sec, et prendra très-peu de boisson, et cette boisson sera du vin pur. Il vaut mieux que le ventre reste libre. La matrice, si ce régime n'opère pas sur elle, sera purgée à l'aide de pessaires qui n'aient rien d'irritant. Il faut toujours donner des bains de vapeur avant

Ιθ, Lind. ; προΐσταται C) vulg. - Je supprime le καί. - αὐτέοισιν vulg. - αὐ-τῇσι θ. — [7] ἄλλ. καὶ (καὶ om. θ) ἢ (ἢ om. θ) κ. vulg. - ναυτίη DJ. - ἀλ. D. - πολὺς θ. - καταρρεῖ Cθ. - πάντα D. - ἐμπλάσσεται D. - ἐπιπλάσσεται C. - ἐπι-πλάσσεται vulg. - πελιὸν C. - πεφυσημένα J. - πεφυσαμένα C. — [8] πυριᾶν θ. - πυκινὰ θ. - σίτων C. — [9] ἀπὸ om. Cθ. - νηστείας θ. - φαρμ. δὲ (δὲ om. CD) πάμπαν vulg. - ὅσα θ. — [10] ξηροτάτησι τροφῇσι C. - καὶ ἀπὸ τῶ ἐλαχίστω θ. — [10] δ' θ. - δίαιταν θ. - προσθετοῖσιν C. - προπυριᾶν θ. — [11] ἀεὶ Cθ. - τῇ ἐκ τῶν μ. ἐπ. δὲ om. Lind. - μαράθων CHIJθ, Ald. - ἔπειτα δὲ (δὲ om. vulg.) τῇ θ.

τῶν [1] θυμιημάτων. Τὰς δὲ πυρίας ποιέεσθαι καὶ τὰς [2] προσθέσιας τεκμαιρόμενον ὅκως ἅπαντα πεποιήσεται καὶ κατὰ τρόπον ἔσται, ἐν ᾧ χρόνῳ τὰ ἐπιμήνια εἴη. [3] Ἢν μὲν οὖν καθαρά τε καὶ ἀκραιφνέα καὶ ἔναιμα γίνηται, οὕτως ἴτω παρὰ τὸν ἄνδρα ἐν ἀρχομένοισι τοῖσιν ἐπιμηνίοισιν· ἄριστον [4] δὲ ἐν ἀπολείπουσι καὶ ἔτι ἰόντων μᾶλλον ἢ ἀφανέων. Ὅταν δὲ μέλλῃ ἰέναι παρὰ τὸν ἄνδρα, ὑποθυμιήσθω τι τῶν θυμιημάτων τῶν στυπτικῶν· [5] θυμιήσθω δὲ διὰ τοῦ κανείου καὶ τοῦ καλάμου, ἐπὶ σποδιὴν θερμὴν ἐπιπάσσουσα τὸ φάρμακον· ὅταν δὲ ἐπιπάσσῃ, καὶ τὸ [6] κανεῖον περιθεῖναι καὶ τὸν κάλαμον, [7] καὶ καθεζομένην πυριῆσθαι. Ὁκόταν δὲ δέῃ αὐτὴν θυμιῆσθαι, τῷ μολυβδίῳ χρήσθω, ὡς ἀνεωγμένῳ τῷ στόματι [8] θυμιῆται· εἶτα ὅταν ἀνίστηται, πάλιν ἐν τῇ κλίνῃ προσθέσθω τὸ μολύβδιον· εἶτα ἀφελομένη, αὐτίκα ξυνευναζέσθω τῷ ἀνδρὶ, καὶ [9] ἢν τὰ ἀπὸ τοῦ ἀνδρὸς μὴ δῆλά οἱ ᾖ, ἐκτείνασα τὰ σκέλεα καὶ ἐπαλλάξασα ἠρεμείτω. Νηστείη [10] δὲ ὄφελος ἐν ταύτῃ τῇ ἡμέρῃ, πλὴν κυκεῶνα, ἢν ἐθέλῃ, ἄναλτον ἐφ' ὕδατι· τοῦτο δὲ πιέειν τότε, ὁκόταν μέλλῃ θυμιῆσθαι. [11] Ἢν δὲ ξυγγενομένη τῷ ἀνδρὶ κατάσχῃ τῇ ὑστεραίῃ τὴν γονὴν καὶ μηδὲ ἐς τὴν ἑτέρην ἀπίῃ ἡμέρην, σιτίων μὲν εἴργεσθαι καὶ λουτρῶν, πίνειν δὲ ἄλφιτον ἐν ὕδατι ἄναλτον καὶ δὶς καὶ τρὶς τῆς ἡμέρης. Αὕτη [12] δὲ ἡ δίαιτα ἔστω ἡμέρας ἓξ, ἀμείνων [13] δὲ καὶ ἑπτὰ, ἢν μὴ ἀπίῃ τὰ ἀπὸ τοῦ ἀνδρὸς ὅταν ξυγγένηται. Ἀλουτείτω [14] δὲ πάντα τὸν χρόνον, καὶ ἀκινητέειν ἐπιτηδευέτω· ἢν δὲ βούληται περιπατεῖν, περιπατείτω ἐν ὁμαλῷ χωρίῳ καὶ λείῳ, πρὸς ἄναντες δὲ μηδὲν, μηδὲ κάταντες· καθέζεσθαι δὲ ἐπὶ μαλθακὰ, ἢν [15] ξυλλάβῃ· τὴν δ' ἄλλην δίαιταν τὴν

[1] Θυμάτων θ.-θυμιημάτων C.-θυμιαμάτων vulg. — [2] προσθέστιας C.-τεκμαιρόμενος vulg.-τεκμαιρόμενον θ.-ὅπως Cθ.-περιποιήσεται C.-ἴη pro εἴη C. — [3] εἰ pro ἢν D.-καθαρά τε καὶ om. θ. -ἀκραιφναια (sic) ἢ καὶ ἐν αἷμα θ. -γένηται vulg.-γίνηται HIJKθ. -γίγνηται C.-οὗτος θ. — [4] δ' θ. -ἐπιόντων pro ἔτι ἰόντων θ. -ἀποφανέων Gal. in cit., XVII, p. 442.-μέλη C.-ὑποθυμιησάσθω θ.-θυωμάτων θ.-ὑποθυμιαμάτων vulg.-θυμιημάτων C. — [5] θυμιείσθω C.-θυμιάσθω θ.-κανίου CJθ.-καλαμίου C.-σποδίην GHIK, Ald., Frob. -ἐπιπάσουσα C. — [6] κανίον CJ.-κανουν (sic) θ. — [7] καὶ Cθ.-καὶ om. vulg. -πυριᾶσθαι θ.-δέῃ om. K.-ὅταν δὲ οἵη τε ᾖ θυμιᾶσθαι θ.-καὐτὴν pro αὐτὴν K.-αὐτέην C.-θυμιεῖσθαι C.-μολιβδίω DGHIKθ, Ald.-μολίβδω J.-μολίβω C.-χρήσθω FIJKLθ.-χρῆσθαι vulg.-χρέεσθαι Q'. — [8] θυμιᾶται θ.-εἶθ' Cθ.-μολίβδιον DGHIJKθ, Ald.-ἀφελομένη θ.-ὑφελομένη vulg.-τηνικαῦτα (H, αὐτίκα in marg.) vulg.-αὐτίκα Cθ.-συνευν. Cθ. — [9] ἢν ponitur ante μὴ C.-οἱ om. J.-εἴη C.-ἐκτίνασα θ.-ἀπαλλ. D.-ἠρεμ. I.-νηστίη C.

ces purgations, d'abord avec l'eau de fenouil (*anethum fœniculum*, L.), puis avec les substances balsamiques. Les bains de vapeur et les applications de pessaires seront conduits de manière, que tout sera terminé et en ordre au moment où les règles devront paraître. Si donc elles sont pures, sans altération et bien sanguines, la femme ira auprès de son mari au début, ou, mieux, quand elles finissent, et plutôt coulant encore que complétement disparues. Au moment d'aller auprès de son mari, elle fera quelqu'une des fumigations aromatiques et astringentes; la fumigation se fera par le couvercle et le roseau, le médicament ayant été jeté sur de la cendre chaude; quand le médicament est jeté, elle dispose le couvercle et le roseau, et, s'asseyant, reçoit la fumigation. Quand il faut faire la fumigation, elle se servira de la sonde de plomb, afin que la fumigation trouve ouvert l'orifice utérin. Puis, levée de dessus sa fumigation et s'étant mise au lit, elle appliquera de nouveau le plomb; enfin, le retirant, elle usera aussitôt du coït; et, si la semence de l'homme ne vient pas en dehors, elle étendra les jambes, les croisera et se tiendra immobile. Ce jour-là, il faut faire abstinence, sauf, si elle veut, un cyceon sans sel à l'eau; elle le boira au moment de la fumigation. Si, après le coït, elle garde la semence le lendemain et le surlendemain, elle se privera d'aliments solides et de bains, elle boira de la farine d'orge à l'eau sans sel, deux ou trois fois le jour. Ce régime en durera six, et, mieux encore, sept, si, après le coït, la semence de l'homme ne sort pas. Pendant tout ce temps, elle restera sans bains et se gardera de se donner du mouvement. Si elle veut se promener, elle se promènera en un terrain plan et uni, évitant absolument les montées et les

— [9] δ' C.- εἰ ἐθέλοι θ.- ἐν pro ἐφ' CJ. - ποιέειν CKθ, Cordæus, Lind. - μέλη Ald. — [10] εἰ J. - συγγ. Cθ. - μηδ' θ. - μὴ C, Cordæus. - μηδὲν Lind. - ἀπίοι vulg. - ἀπίη CJ. - πινέτω θ. — [12] δὲ om. θ. - ἔστω om. θ. — [13] δὲ καὶ εἰ ἑπτὰ (DHK, ἦν) FJ. - ἢ pro δὲ καὶ Cθ. - ἀπὸ Cθ. - ἀπὸ om. vulg. - συγγ. θ. — [14] δὲ om. Cordæus, Lind. - ἀκεινητέειν θ. - ἀκινητεῖν vulg. - χρὴ pro ἐπιτ. Cθ. - περιπατείτω om. Cθ. - προσάναντες vulg. - πρὸς ἄναντες DHIK. - πρόσαντες CJθ. - μηδαμῶς vulg. - μηδὲν Cθ. — [15] συλ. θ. - δὲ θ. - μέχρι GHIJθ. - μέχρη (sic) ἡμερῶν τριῶν. C. - ἡμερῶν G.

αὐτὴν ποιέεσθαι μέχρις ἡμερέων τριήκοντα. [1] Ἀλουτεέτω δὲ, ἢ καὶ, ὅτε δέοι, λουθῆναι ὀλίγῳ καὶ μὴ λίην θερμῷ· τὴν δὲ κεφαλὴν μὴ βρέχειν. Σιτίοισι δὲ χρεέσθω καὶ ἄρτοισι καὶ μάζῃ, ἤν γε βούληται· κρεῶν δὲ φάσσῃ καὶ τοῖσι παραπλησίοισι, θαλασσίων [2] δὲ ὁκόσα κοιλίην ἵστησιν· εἴργεσθαι δὲ λαχάνων δριμέων· οἴνῳ [3] δὲ μέλανι χρεέσθω, κρέασι [4] δὲ ὀπτοῖσι μᾶλλον ἢ ἑφθοῖσι, καὶ τῶν ἡμέρων καὶ τῶν [5] θηρείων.

12. Καὶ ταύτην, ἣν μὲν ξυλλάβῃ, οὕτω χρὴ ποιέειν· ἣν [6] δὲ μὴ ξυλλάβῃ, ἀλλ' οἴχηται δευτεραῖα ἢ τριταῖα τὰ τοῦ ἀνδρὸς ῥεόμενα παμπόλλῃ ὑγρασίῃ, δῆλον ὅτι ὑγρότεραί εἰσιν αἱ ὑστέραι. Θεραπεύειν οὖν χρὴ κατὰ τὸν ὑφηγημένον [7] τρόπον, μέχρις ἂν ξηραὶ γένωνται· ὁκόταν δὲ δοκέωσι ξηραὶ εἶναι, ἰητρείη ἥδε ἀρίστη, φάρμακον μαλθακτήριον κατόπιν τε καὶ ἐς τοὔμπροσθεν, [8] ἄχρις οὗ αὗται κατὰ φύσιν γένωνται· καὶ αὖθις ἴτω παρὰ τὸν ἄνδρα, ὅταν τὰ ἐπιμήνια μηκέτι πολλὰ ᾖ, ἀλλ' ὀλίγα καὶ εὔχροα, καὶ ὀργᾷ. Καὶ ἐν τῇσιν ἄλλῃσιν [9] ἡμέρῃσιν ἱμεροῦσθαι χρὴ τοῦ ἀνδρὸς, ἣν ἄριστα ἔχωσιν αἱ ὑστέραι. Ὅταν δὲ [10] ξυγγένηται ἐν τῇσιν ἡμέρῃσι τῇσιν εἰρημένῃσιν, ἢν εὐτρεπισθῶσιν αἱ ὑστέραι, ἢν κατάσχῃ [11] τὴν γονὴν ἡμερέων δέκα ἢ δυοκαίδεκα, μὴ ἰέναι ὡς τὸν ἄνδρα. Ἢν δὲ [12] μὴ ξυλλάβῃ, ὑγιέες δὲ ἔωσιν αἱ μῆτραι, γίνεται γὰρ δὴ καὶ τοῦτο πολλῇσιν, ἐπειδὰν ἀκιδναὶ αἱ [13] μῆτραι, εὔτροφοι ἐοῦσαι, ὑπὸ πάθεος γένωνται

[1] Ἀλουσίῃ δὲ καὶ ὅτε δέει (δέοι θ) ὀλίγῳ Cθ. – δέῃ Cordæus, Lind. – χρήσθω θ. – καὶ ἄρτοισι om. θ. – καὶ ἢν βούληται μάζῃ Cθ. – καὶ τοῖσι παραπλησίοισι om. Cθ. — [2] δὲ om. C. – ὅσα θ. — [3] δὲ om. C. – χρήσθω θ. – τοῖσι κρέασι θ. — [4] δὲ om. Cθ. – ἢ DFHIJKθ, Ald., Cordæus, Lind. – ἢ om. vulg. – ἡμερέων vulg. – ἡμέρων Jθ, Lind. — [5] θηρίων Cθ. – In marg. ἀντὶ τοῦ τῶν ἀγριμίων θ. – καὶ om. Cθ. – ταύτην C. – ταῦτα vulg. – μὲν ἢν vulg. – ἢν μὲν θ. – μὲν εἰ ξυλλάβοι DFG (HK, ξυλλάβῃ) IJ, (Ald., ἢν). – συλλ. Cθ. – οὕτω Cθ. – οὕτως vulg. – οὕ. χρὴ π. om. (DH, restit. al. manu) GHIJK. — [6] δέ γε (γε om. Cθ) μὴ vulg. – ξυλλάβοι J. – οἴχεται vulg. – οἴχηται CJθ. – δευτεραίη ἢ τριταίη C. – τὰ τοῦ ἀνδρὸς om. Cθ. – ἠρεόμενα (sic) C. – παμπόλλῳ vulg. – παμπόλλη J. – παν (sic) πολλῇ θ. — [7] λόγον θ. – οὗ pro ἂν C (θ, εὗ). – ξηραίνωνται θ. – ὅταν θ. – ἰητρεύεσθαι (ἰητρευέσθω DFIK) οὕτως· ἄριστον (ἰητρείη ἥδε ἄριστον C; ἰητρείη οὖν ἀρίστη θ) φάρμ. μαλθ. μιν (μὴν C; μοι pro μιν FG; μιν om. θ) κατόπιν vulg. — [8] ἄχρι C. – μέχρι θ. – οὖν (sic) pro οὗ J. – αὗαι (sic) pro αὗται θ. – αὖτις C. – εἴτω θ. – πολλὰ om. θ. – ἢ C (θ, ἴῃ) – ᾖ om. vulg. – ἀλλὰ C. – καὶ om. C. – εὔχροια θ. – ὀργαὶ θ. — [9] ἢ ἑτέρῃσιν C. – ἱμεροῦσθαι Cθ. – τοῦ ἀνδρὸς om. Cθ. – Post ἔχωσιν addit αἱ γυναῖκες τε καὶ C. – [10] σ. Cθ. – τῇσιν εἰρ. ἢν om. C. – εὐτρεπεῖς ἐῶσιν C. — [11] τε (τε om.

descentes. Elle se tiendra assise sur des siéges mous, si elle conçoit, et observera le même régime pendant trente jours ; elle continuera de s'abstenir de bains, ou, s'il lui en faut prendre, elle se lavera avec peu d'eau qui ne sera pas très-chaude; elle ne se mouillera pas la tête. Pour aliments de céréales, elle aura le pain et la pâte d'orge; pour viandes, le pigeon et autres semblables; pour poisson de mer, tout ce qui resserre le ventre; elle s'abstiendra des herbages âcres; elle usera d'un vin noir; les viandes seront plutôt rôties que bouillies, aussi bien d'animaux domestiques que de gibier.

12. (*Traitement du cas où le sperme n'est pas retenu parce que la matrice est trop humide. L'auteur y ajoute le cas où la matrice ne retient pas, parce qu'elle a été affaiblie par les pessaires ou les fumigations.*) Voilà ce que fera la femme, si elle conçoit. Mais si elle ne conçoit pas, et que la semence de l'homme, s'écoulant avec beaucoup d'humidité, sorte le deuxième ou le troisième jour, évidemment la matrice est trop humide. Il faut traiter suivant le mode exposé précédemment, jusqu'à ce qu'elle devienne sèche. Quand elle paraît être sèche, ce qu'il y a de mieux c'est d'appliquer un médicament émollient en arrière et en avant, jusqu'à ce qu'elle reprenne son état naturel; et, derechef, la femme ira auprès de son mari, lorsque les règles, cessant d'être abondantes, seront en petite quantité, de bonne couleur, et que les désirs se feront sentir. Dans les autres jours aussi, les désirs doivent se faire sentir, si la matrice est en bon état. Quand la femme a usé du coït en ces jours, la matrice étant bien disposée et la semence ayant été retenue dix ou douze jours, la femme n'ira pas auprès de son mari. Si elle ne conçoit pas, tout en ayant néanmoins la matrice saine (cela se voit souvent aussi), c'est que l'utérus, quoique en état de bonne nutrition, a été affaibli

Cθ) τὴν vulg. - δυωκαίδεκα θ. - εἰς pro ὡς Jθ. — [8] μὴ om. CK. - ξυλάβῃ (sic) K. - ξυλλαμβάνῃ θ. - ἐῶσιν C. - ὦσιν θ. - γίγν. C. - δὴ om. θ. - δὴ καὶ om. C. — [9] μῆτραι ἐοῦσαι ἄτροφοι (εὔτροφοι C, D al. manu ἄτροφοι, FGHIJK, Ald.) (εὔτροφοι οὖσαι θ) ὑπὸ π. γίνονται (γίνωνται K; γίγνονται C; γενῶνται sic θ) vulg. - μὴ pro ἢ θ. - Ante οὐ addit καὶ θ.

ἢ ὑπὸ φαρμακείης τε καὶ πυρίης πολλῆς, οὐ δύνανται φέρειν τὴν γονὴν, πρὶν [1] ἢ ἐθάδες γίνωνται καὶ ἰσχύωσιν· γνωστὸν δὲ τοισίδ' ἐστὶν ὧδε· ὁκόταν ἀπίῃ οἱ, ἄπεισι δὲ δευτεραίῃ [2] ἢ καὶ τριταίῃ καὶ ἔτι ἀνωτέρω, ἀπέρχεται δὲ παχέα τε καὶ ξυνεστεῶτα οἷον βλένναι, ἢν μὴ κακόν τι ᾖ καὶ διὰ νοῦσον ἑτέρην ὑστερέων ἡ γονὴ ἀπαλλάσσηται. Ὅταν [3] οὖν τοιαῦτα φανθῇ, θεραπηΐης μὲν ἀπόχρη ὑστερέων· τοῦ δ' ἄλλου σώματος ἐπιμελείην ἔχειν, [4] ὡς εὐεξίη τοιαύτη οἱ ᾖ, ὡς ξυνεσταλμένον τε ἅμα τὸ σῶμα εἶναι καὶ εὔογκον, [5] λουτροῖσιν ὀλίγοισι, πόνοισι πρηέσι πλέοσι· δριμέων καὶ [6] ἁλμυρῶν εἴργεσθαι· ἐμέτοισι χρῆσθαι πρὸ τῶν ἡμερέων ὧν μεμαθήκει τὰ ἐπιμήνια γίνεσθαι, καὶ αὖθις λιμοκτονέεσθαι, καὶ τἄλλα ἐπιτελεῖν ἅσσα εἴρηται. Αὕτη μὲν θεραπηΐη ἀμφὶ τῶνδε.

13. [7] Ὅσῃσι δὲ, ὅταν ξυγγένωνται, αὐτίκα διαῤῥέει τὰ ἀπὸ τοῦ ἀνδρὸς, ταύτῃσι τὸ στόμα τῶν ὑστερέων πρόφασις. Θεραπεύειν δὲ δεῖ οὕτως· [8] ἢν μὲν σφόδρα μεμυκὸς ᾖ, ἀναστομῶσαι τοῖσι δαιδίοισι καὶ τοῖσι μολιβδίοισι· πυριῆν δὲ μαλθακῇ πυρίῃ, τῇ ἐκ τοῦ μαράθρου, καὶ [9] καθαίρειν προσθέτοισιν ὅσα λεπτύνει τὰς ὑστέρας καὶ ἐς ἰθὺ καθίστησι· μετὰ δὲ τὰς καθάρσιάς τε καὶ [10] τὰς πυρίας κλύζειν τοισίδε ἅσσα ἐναντία τῇ προφάσει. [11] Ὅσῃσι δὲ τὸ στόμα ἀπεστραμμένον ἐστὶ καὶ προσπεπτωκὸς πρὸς τὸ ἰσχίον, γίνεται γὰρ καὶ τοιαῦτα διακωλύοντα τὴν ὑστέρην τὴν γονὴν προσδέχεσθαι, ὅταν οὖν τι τοιοῦτον ξυμβῇ, πυριῆν χρὴ τῇσιν εὐώδεσι [12] τῶν πυριῶν· μετὰ δὲ τὴν

[1] Ἢ om. θ. – ἐῶσι θ. – γίνονται vulg. – γένωνται CDJK, Cordæus. – γίνωνται HI, Frob. – ἰσχυρωθῶσι C. – Post δὲ addit καὶ θ. – τοῖσδ' θ. – τοῖσιν pro τοισίδ' (D, τῇσιν) HJK. – τοῖσιν δὲ C. – ὅταν θ. — [2] ἢ om. Cθ. – ἐπανωτέρη pro ἔτι ἀνωτέρω θ. – τε om. Cθ. – ξυνεστῶτα θ. – ξυνεσταῶτα (sic) C. – βρένναι, al. manu βλ D. – ἀπαλλάσσεται C. — [3] οὖν om. C. – φανθῇ om. C. – θεραπείης vulg. – θεραπηΐης C. – ἐπιμελίην vulg. – ἐπιμελείην DHIKθ, Cordæus. — [4] ὡς καὶ (καὶ om. θ) vulg. – εὐεξείη θ. – εὐεξίην τοιαύτην οἱ ἴῃ C. – συν. CJθ. – τε om. θ. – ἅμα om. θ. – καὶ om. D. – εὔογγον GK. — [5] λουτροῖσιν ὀλίγοισιν, πλείοσι (πλέοσι J) δὲ δριμέων vulg. – λουτροῖσιν ὀλίγοισιν, πλείοσι δὲ πόνοις· δριμέων Cordæus. – λ. ὀλ., πλείοσι δὲ πόνοις καὶ κουφοῖς χρῆσθαι· δριμέων Foes in not. – λουτροῖσι [δὴ] ὀλίγοισι, πλείοσι δὲ πόνοισι καὶ κουφοῖσι· δριμέων [δὲ] Lind. – λ. ὀλίγοισι, πόνοισι πλείοσι· δριμέων θ. – λ. ὀλίγ., πόνοισι πρηέσι πλείοσι· δριμέων C. – λ. ὀλ., ἐμέτοισι χρῆσθαι πρὸ τῶν ἡμερέων ὧν μεμαθήκει τὰ ἐπιμήνια γινέσθαι, πλείοσι δὲ δριμέων καὶ ἁλμυρῶν εἴργεσθαι DQ'. — [6] διαλμύρων C. – ἐμέτοισι [δὲ] Lind. – πρῶτον pro πρὸ τῶν C. – ὧν om. FG. – μεμάθηκε Cθ. – γίγν. C. – αὖτις C. – τὰ ἄλλα C. – θεραπείη vulg. – θεραποιίη (sic) C. — [7] ἧσι θ. – ξυγγένηται C. – συγγένηται θ. – ἀπίσει

par une affection, ou par des purgations ou des fumigations excessives, et il ne peut porter la semence, tant qu'il ne s'est pas habitué et fortifié. Voici à quoi on reconnaîtra ce cas : quand la semence sort, elle sort le second ou le troisième jour, ou même plus tard; ce qui sort est épais et grumeleux comme du mucus, à moins qu'il n'y ait quelque mal et que la semence ne s'en aille par une autre maladie de la matrice. Quand donc la semence sort ainsi, il faut soigner l'utérus, sans négliger le corps entier. On mettra le corps en bon état, de manière qu'il ait à la fois fermeté et embonpoint. Peu de bains; beaucoup d'exercices légers; abstinence des substances âcres ou salées; vomissements avant les jours où viennent les règles, puis diète rigoureuse, et tout le reste comme il a été dit. Voilà le traitement de ces cas.

13. (*Traitement du cas où, par la faute de l'orifice utérin, le sperme n'est pas retenu.*) Quant à celui où, après le coït, la semence de l'homme sort incontinent, la cause en est dans l'orifice utérin. On traitera ainsi : si l'orifice est très-fermé, on l'ouvrira avec les bâtonnets de pin et avec les plombs; fumigation émolliente, avec le fenouil; purgation avec les pessaires qui atténuent la matrice et en favorisent le redressement. Après les purgations et les fumigations, on administrera en injections ce qui est contraire à la cause du mal. Chez quelques-unes l'orifice utérin est dévié et appliqué du côté de la hanche; car c'est aussi un des empêchements pour

(sic) pro διαῤῥ. θ. - διαῤῥ. τὰ om. C. - προφάσεις θ. - οὕτως om. Cθ. — [8] εἰ J. - δεξίοισι θ. - δ' αἰδοίοισιν C. - μολυβδίοισι GHθ. - μολιβδίνοισιν C. - μαράθου CFGHIKθ, Ald. — [9] καθαίρεις J. - πρόσθεν οἷσιν C. - ὅσα Cθ. - οἷα vulg. - ἐς om. K. - ἔσι ου καταστήσει (sic) θ. - εὐθὺ vulg. - ἰθὺ D. - καθιστᾷ DGIJK. - καθάρσηας C. — [10] τὰς CIKθ. - τὰς om. vulg. - τοῖσδε vulg. - τοῖσι δὲ D. - τοῖσδέσιν H. - τοῖσδεσιν IJK. - τοῖς ἡδέσιν C. — [11] ὅσοισι DGHI. - ἐπὶ pro πρὸς J. - γίγν. C. - συμβῇ θ. - ταῖς θ. — [12] τῶν πυριῶν Cθ. - πυρίῃσι vulg. - παρασπασαμένην vulg. - παραφασχαμένην aut παραψαμένην legere malit Foes. in not. - παραφασσάμενην Lind. - παρασπάσαι τῷ δακτύλῳ ἀποστῆσαι τοῦ ἰσχίου· ὅταν δ' ἀποστῆσα ἢ ἐξορθοῦν θ. - ἀποστήσῃς D - δ' αἰδοίοισι C. - μολυβδίῳ G. - ἐξορθωμέναι (sic) DGIJ, Ald., Frob. - ἐξορθωμέναι H. - ἀνωστομωμέναι (sic) Ald. - προσθετοῖς μαλακοῖς C. - μαλθακοῖσι θ. - τὰ ἄλλα C. - τρόπον Q', Lin[d].

πυρίην παραφασσαμένην τῷ δακτύλῳ ἀποσπᾷν τοῦ ἰσχίου· ὅταν δὲ ἀποστήσῃ, ἐξορθοῦν τοῖσι δαιδίοισι καὶ τῷ μολιβδίῳ κατὰ τὸν ἔμπροσθεν λόγον· ὅταν δὲ ἐξωρθωμέναι τε καὶ ἀνεστομωμέναι γένωνται, προσθέτοισι μαλακοῖσι καθαίρειν, καὶ τἄλλα ποιέειν κατὰ τὸν ὑφηγημένον λόγον. [1]Ὅταν ἀνεστομωμέναι μᾶλλον τοῦ δέοντος αἱ ὑστέραι ἔωσι, καθάρσιος δέονται· μετὰ δὲ τὰς καθάρσιας, [2]κλυσμῶν καὶ θυμιημάτων. Ἢν [3]δὲ ἐγγύτερον ἔωσι τοῦ δέοντος, ἐμέτων δέονται αἱ ὑστέραι καὶ πυρίης δυσώδεος, μέχρις ὅτου ἐς χώρην ἔλθωσι· [4]τῇ διαίτῃ δὲ τῇ ὑφηγημένῃ χρῆσθαι. Ἢν δὲ [5]τὸ στόμα πιμελῶδες ᾖ καὶ [6]πάχετον, καὶ διὰ τοῦτο μὴ κυΐσκηται, νᾶπυ ἑφθὸν ἐσθίειν νῆστιν, καὶ ἄκρητον ἐπιπίνειν· πρόσθετον δὲ νίτρον ἐρυθρὸν [7]καὶ κύμινον [8]καὶ ῥητίνην· ἄριστον δ' ἐν ὀθονίῳ· ἢ νίτρον ξὺν σμύρνῃ καὶ ῥητίνῃ καὶ κυμίνῳ καὶ μύρῳ λευκῷ· ἢ ἐλάφου κέρας καῦσαι καὶ μίξαι [9]ὠμήλυσιν διπλασίην, ἐν οἴνῳ ἐπὶ ἡμέρας τέσσαρας πινέτω. Ἢν δὲ μὴ ῥηΐζῃ, πράσα ἑψεῖν καὶ ἀμφικαθίζεσθαι· ἢ φηγὸν τρίβουσα προστιθέσθω· σκόροδά [10]τε τρώγειν νεαρὰ, καὶ μελίκρητον ἐπιπίνουσα ἐμεέτω.

14. Ὅσῃσι δὲ ἐμμένει καὶ [11]ἐνσήπεται καὶ ὄχλον ποιέει, ἀνδραφάξιος ἀγρίης καρπὸν ἢ χυλὸν ξὺν μέλιτι ἢ [12]ξὺν κυμίνῳ ἐκλεικτὸν διδόναι.

15. Ὅταν δὲ δύσοδμα [13]ἔῃ, καὶ οὐ κυΐσκηται, ἀνδράχνην καὶ χηνὸς ἔλαιον μίσγειν καὶ προστιθέναι.

[1] Ὅταν δὲ DKQ', Lind. – ἀναστομῶνται Cθ. – ἐῶσι GI. – ἔωσι om. Cθ. – καθάρσηος C. – καθάρσηας C. — [2] κλυσμῶν ἀξιοῦν (ἀξ. om. Cθ) καὶ θυμιαμάτων (θυμιημάτων Cθ) vulg. — [3] δ' θ. – ἔγγιον C. – ἐῶσι CGIKθ. – πυριῆς GI. – Ante δυσ. addit καὶ θ. – μέχρι θ. — [4] τῇ om. θ. — [5] τὸ στ. om. C. – πημ. C. — [6] παχὺ vulg. – πάχετον Cθ. – καὶ om. C. – διὰ τοῦτο om. θ. – μυΐσκηται pro μὴ κ. FGIJ. – κυΐσκεται DK. – κυΐσκεσθαι C. – προσθετὸν C. – λίτρον θ. — [7] καὶ om. θ. — [8] καὶ om. Cθ. – ῥιτ. GI. – ἄριστον δὲ οἴνῳ νίτρον ξυμμίσγειν καὶ ῥητίνῃ ἅμα καὶ κυμίνῳ vulg. – ἄρ. δὲ οἴνω νίτρον ξὺν σμύρνῃ (D, al. manu ξυμμίσγειν) καὶ ῥητ. (ῥιτ. GI, Ald.) ἅμα καὶ κυμ. GHIJK, Ald. – ἄρ. δ' ἐν οἴνω ἢ νίτρω ξὺν σμύρνῃ καὶ ῥητ. ἅμα καὶ κυμ. C. – ἄριστον δ' ἐν ὀθονίω· ἢ λίτρον σὺν σμύρνῃ καὶ ῥητίνην καὶ κυμίνω θ. — [9] ὠμὴν λύσιν K. – ὠμίλυσιν Ald. – ὡς μὴ λύσιν HI. – ὠμήλυσι θ. – διπλὴν vulg. – διπλῆν IK. – διπλασίην θ. – ἐπὶ (ἐπὶ om. C, Lind.) ἡμέρας τέσσαρας (τέσσερας θ) πινέτω Cθ, Lind. – ἐ. ἡ. τ. π. om. vulg. – ῥηΐζῃ C. – ῥαίζῃ vulg. – ἕψει ἢ καὶ C. – ἀμφικαθέζεσθαι vulg. – ἀμφικαθέξεσθαι K. – ἀμφικαθίζεσθαι θ. – φυγὸν G. – φητὸν (sic C. — [10] δὲ pro τε C. – νεηρὰ C. – πίνουσα Cθ. — [11] σήπεται Jθ. – ἀδραφάξιος, al. manu ἀνδ D. – ἀνδραφάξηος C. – σὺν DHIK. – ἐν pro ξὺν Cθ. — [12] σὺν θ. – ἔλικτον DJ. – ἔλλικτον θ. – ἐλικτὸν H. – ἐκλικτὸν C. – ἐκλεικτὸν

la matrice de recevoir la semence. En ce cas, on fera les fumigations aromatiques; après la fumigation, la femme, portant le doigt, écartera l'orifice de la hanche; l'ayant écarté, elle le redressera avec les bâtonnets de pin et le plomb, comme il a été dit plus haut. La matrice étant redressée et ouverte, on la purge avec des pessaires émollients, et tout le reste dans l'ordre susdit. Quand la matrice est plus béante qu'il ne convient, elle a besoin d'être purgée, et, après les purgations, d'injections et de fumigations aromatiques. Si elle est abaissée, on prescrit les vomissements, les fumigations fétides, jusqu'à ce qu'elle revienne à sa place; le régime est comme plus haut. Si l'orifice est gras et épais et que ce soit la cause qui empêche de concevoir, la femme mangera, à jeun, de la moutarde blanche cuite, et boira par-dessus du vin pur; en pessaire, elle aura du nitre rouge, du cumin et de la résine; le mieux est de mettre cela en un linge; ou bien mélanger du nitre avec de la myrrhe, de la résine, du cumin et du parfum blanc; ou bien brûler de la corne de cerf, y mêler le double de farine, dans du vin, et boire cela pendant quatre jours. S'il n'y a pas d'amélioration, faire cuire des poireaux; la femme prendra un bain de siége dans cette eau; ou bien piler du hêtre et l'appliquer. Manger de l'ail frais, boire de l'hydromel par-dessus et vomir.

14. (*Remède pour le cas où le sperme séjourne et se putréfie.*) Pour les femmes chez qui la semence séjourne, se putréfie et cause du malaise, donner en éclegme le fruit ou le suc de l'arroche sauvage (*atriplex hortensis*, L.) avec du miel ou avec du cumin.

15. (*Remède pour le cas où, les règles ayant mauvaise odeur, la femme ne conçoit pas.*) Quand les règles sont de mauvaise odeur et que la femme ne devient pas enceinte, mêler l'arroche et la graisse d'oie, et appliquer en pessaire.

Lind. — [a] εἴη (ἴη θ), addit καὶ C) οὐ κυΐσκεται (οὐ ἀκυΐσκεται sic Ald.) (κυΐσκηται C) vulg. Je lis ἔῃ et je prends καί. – ἀνδράχλην FG. – ἀνδράχνην C. – Post ἀνδρ. addit οὖν (γοῦν HIJK) vulg. – οὖν om. C. – συμμίσγειν θ

16. [1]Ὅσῃσι δὲ ἑκταῖα καὶ ἑβδομαῖα τὰ ἀπὸ τοῦ ἀνδρὸς κατασηπόμενα χωρέει, ταύτῃσιν εἰκὸς γίνεσθαι ὑπ' ἀμφοῖν ἐπιῤῥοῇ, χολῆς καὶ ἅλμης· θεραπεύειν [2]δὲ χρὴ ὧδε ἐλλεβόρῳ [3]ἢ σκαμμωνίῃ καὶ πεπλίῳ· καθαίρουσι γὰρ ἄνω τε καὶ κάτω [4]φλέγμα τε καὶ χολὴν, καὶ φύσας ἄγει· πρὸ δὲ τῶν καθαρσίων τῇσι πυρίῃσι [5]χρῆσθαι τῇσιν ἐκ τῶν θυμιημάτων· ὅταν δὲ πυριήσῃς, καθαίρειν προσθέτοισι τὸν αὐτὸν τρόπον ὡς ἐν [6]τῇσι πρόσθεν, καὶ μετὰ τὰς πυρίας καὶ καθάρσιας τοῖσι μαλθακτηρίοισι χρέο, καὶ τὸ ἐκ τῆς λινοζώστιος πρόσθετον, καὶ ἀρτεμισίης ποίης καὶ ἀνεμώνης καὶ ἐλλεβόρου λευκοῦ ἢ μέλανος. Τὰ μὲν τῶν φαρμακηίων ταύτῃσιν ὧδε χρή· τὴν δὲ δίαιταν ἀποσκεπτόμενον [7]τῆς ἀνθρώπου ἐς τὸ οὖλον σῶμα ποιέειν, ἤν τε αὐχμηροτέρη δοκέῃ εἶναι, ἤν τε σαρκωδεστέρη· [8]κἢν μὲν αὐχμηροτέρῃ, λευτροῖσι πλείοσι καὶ ἑφθοῖσι πᾶσι [9]τοῖσιν ὄψοισιν, [10]εἴτε θαλασσίοισιν [11]εἴτε κρέασιν, οἴνῳ δὲ ὑδαρέϊ, λαχάνοισιν ἑφθοῖσι καὶ λιπαροῖσι πᾶσι καὶ γλυκέσι· ταῦτα γὰρ ὡς ἐπιτοπουλὺ ποιέει ὑγρηδόνα εἶναι καὶ ἐν τῷ ἄλλῳ σώματι καὶ ἐν τῇσιν ὑστέρῃσιν. Ἢν δὲ [12]ὑγροτέρη ᾖ, δέονται αἱ τοιαῦται ὑστέραι τούτων οὐδὲν, ἀλλὰ τἀναντία· οὐ χρὴ ψαύεσθαι οὐδὲ κλύζεσθαι νεοχμῶς οὐδὲ θυμιῆσθαι· πρὸς γὰρ τὸ [13]κινεύμενον φιλέει ἰέναι. Καὶ ἢν ἐξυγρανθέωσι μᾶλλον τῆς φύσιος, χρὴ [14]δὴ ξηραίνειν καὶ θυμιῆν· ἢν δὲ χολώδεα ἴῃ ἐπὶ σφέας, ὅ τι χολὴν καθαίρει διδόναι· [15]ἢν δὲ ἁλμυρώδεα, γάλα ὄνειον καὶ οἶνον καὶ τἄλλα ἀλεξητήρια.

[1] Ὅσοισι G. – ἧσιν θ. – δὲ om. Cθ. – ὑπ' ἀμφοῖν· ἢν (ἢν om. θ) (addit οὖν Lind.) ἐπιῤῥοὴ (ἐπιρροὴν θ; ἐπιρροῇ C) (addunt ἢ Cordæus, Lind.) χολῆς vulg. – ὅτι ἅλμην τὸ φλέγμα λέγει in marg. θ. — [2] δὲ Cθ. – δὲ om. vulg. – χρὴ om. C. — [3] ἢ καὶ Cθ. – σκαμμονίῃ G. – σκαμωνίῃ θ. – σκαμμωνίω καὶ πλείω (sic) C. – γὰρ ταῦτα (ταῦτα om. Cθ.) vulg. — [4] φλέγμα τε (τε om. vulg.) καὶ Cθ. — [5] χρῆσθαι om. Cθ. – τῇσιν Cθ. – τῇσιν om. vulg. – θυμιαμάτων DGH. – θυωμάτων θ. – δὲ om. H. – προσθετοῖσιν C. — [6] τοῖσι vulg. – τῇσι CFGKθ. – προσθέσιας (προθέσιας GI; προσθέσηας C; πυρίας θ) καὶ καθ. vulg. – χρέω θ. – λινοζώστεος K. – λινοζώστηος C. – προσθετὸν C. – ἀρτεμησίης Ald. – ἐλεβόρου C. – ἐλλεβόρου θ. – φαρμακειῶν vulg. – φαρμακηίων C. – ὑποσκεπτόμενον θ. — [7] τοῦ C. – οὖλον Cθ. – ὅλον vulg. – σωματοποιέειν GI, Ald., Frob., Cordæus, Lind. – ἀχμηροτέρη (bis) FI. – αὐχμηρεστέρη C. — [8] ἢν Cθ. – μὲν γὰρ θ. – Post αὐχ. addit ἢ C. – Ante πλ. addit πᾶσι C. – ἐφθ. I. — [9] τοῖς vulg. – τοῖσιν DH. – τ. ὄψ. om. Cθ. — [10] καὶ pro εἴτε Cθ. — [11] καὶ τοῖσι pro εἴτε Cθ. – ὑδάρει θ. – λαχάνοισί τε (τε om. Cθ) vulg. – ἐπὶ τὸ πολὺ θ. – παντὶ pro ἄλλῳ GHIJQ', Lind. — [12] ὑγρότεραι DH.

16. (*Autre détail sur le cas où le sperme sort putréfié le sixième ou le septième jour.*) Quand la semence de l'homme sort putréfiée le sixième jour ou le septième, cela sans doute vient de l'afflux des deux humeurs, bile et salure. On traitera par l'hellébore, ou la scammonée et le peplion (*euphorbia peplis*, L.); car ils évacuent par le haut et par le bas la pituite et la bile, et expulsent les vents; avant les purgations on emploiera les fumigations aromatiques. Après les fumigations, on purgera avec des pessaires de la même façon que dans les cas précédents. A la suite des fumigations et des purgations, on emploiera les émollients, le pessaire avec la mercuriale, l'armoise, l'anémone et l'hellébore blanc ou noir. Tels sont les médicaments qu'il faut mettre en usage. Quant au régime, on examinera le corps de la femme en son ensemble, considérant si elle paraît sèche ou charnue. Si elle est sèche, beaucoup de bains, pour mets toutes choses bouillies, soit poissons de mer, soit viandes; vin léger; herbages bouillis, tous gras et doux; car toutes ces substances en général produisent de l'humidité et dans le corps entier et dans la matrice. Si la femme est humide, la matrice n'a besoin d'aucune de ces choses; c'est tout le contraire qu'il faut : on ne touchera pas la matrice, on ne fera ni injections ni fumigations à nouveau; car le flux se porte facilement vers la partie excitée. Si la matrice s'humecte plus qu'il ne convient, il faut dessécher et faire des fumigations. Si un flux bilieux va sur la matrice, donner ce qui évacue la bile; si un flux salé, donner du lait d'ânesse, du vin et les autres secours.

- ὑγρότερα (sic) J. - τευτων (sic) θ. - τῶν τοιούτων pro τ. J. - ταντια (sic) θ. - In marg. ἀντὶ τοῦ ἐπ' ἀλήλλων H (IK, ἐπ' ἀλλήλοις). - Ante νε. addit τῶν τοιούτων οὐδὲν J. - νεογδμῶς (sic) C. - θυμιεῖσθαι C. - θυμιᾶσθαι θ. — [13] κινδυνεόμενον vulg. - κινδυνευόμενον DK. - κινεύμενον CH. - κεινεόμενον θ. κινεῖν est le mot propre à cette ancienne médecine. - φιλεῖ θ. - ἐξυγρανθῶσι vulg. - ἐξυγρανθέωσι C. - φύσηος C. — [14] δὲ CDGHIJK. - ξηρ. καὶ θυ. ἢν δὲ χολώ om. (δεα superest) C. - θυμίη θ. - τῇ pro ἢη C. - σφᾶς θ. - διδόναι καθαίρει θ. — [15] εἰ DHI. - ἀλλόγιον (sic) pro γάλα ὄν. καὶ οἶ. C. - τὰ ἄλλα C. - ἀλεξιτήρια GHJK, Ald., Frob., Cordæus, Lind.

17. Χρὴ δὲ σκεψάμενον τῶν νοσημάτων τὰς δυνάμιας καὶ ὑφηγεύμενον τὰς προφάσιας ὡς χρὴ ἐξ ὧν αἱ νοῦσοι γίνονται, [1] ἐπὶ τὰ ἄλλα ἰέναι ὧδε καὶ [2] τὰ ἀμφὶ τὰ χωρία ἰῆσθαι. [3] Καὶ ὅσαι μὲν διὰ τὴν τῶν στομάτων αἰτίην διακωλύονται μὴ ἴσχειν ἐν γαστρὶ, τούτων εὐτρεπίζειν τὰ στόματα, ὡς εὐκρινέα ᾖ. [4] Ὅσων δὲ ἡ ὑγρηδὼν εἴργει, ταύτην ἐσορῆν ὡς μὴ διακωλύῃ, σκεπτόμενον ἐς [5] ὅλα τὰ πρήγματα τῶν γυναικῶν, ἤν τε ἐξ ἅπαντος τοῦ σώματος δοκέῃ τι κινέεσθαι, ἤν [6] τε ἀπ' αὐτέων τῶν ὑστερέων, ἤν τε ἀπ' ἄμφω. Τὰς [7] δὲ ὑστέρας ὧδε μελεδαίνειν, ὅκως μήτε ὑγραὶ ἔωσι μήτε λίην αὖαι· ἀλλὰ τὰς μὲν ξηροτέρας εὐχύλως, [8] ὅσῳ αὐχμηρότεραί εἰσι, τοιαύτῃ ἰκμάδι, ὡς πιαλέαι μᾶλλον ἔσονται ἢ ἰσχναλέαι· τὰς δὲ ἐξυγρασμένας καὶ διαβρόχους ξηραίνειν ὑπολειπόμενον ἐνίκμους εἶναι καὶ μὴ [9] λίην ἀπεξηράνθαι· αἱ γὰρ ὑπερβολαὶ τουτέων πάνυ φευκτέαι. [10] Λαμβάνει δὲ ἐν γαστρὶ οὔτε ἡ ὑγρηδόνα ἔχουσα, ἀτὰρ οὐδὲ ἡ αὐαινομένη, ἢν μὴ ᾖ ἐν τῇ ἀρχαίῃ φύσει τουτέων τι. Ἰέναι δὲ χρὴ παρὰ τὸν ἄνδρα, ὅταν τὰ [11] ὑπὸ τῆς θεραπείης καλῶς ἔχῃ, ληγόντων ἢ ἀρχομένων τῶν ἐπιμηνίων· ἄριστον δὲ καὶ ἐπὴν παύσηται· μάλιστα [12] δὲ ἐν ταύτῃσι τῇσιν ἡμέρῃσι πειρηθῆναι, ἢν δύνηται κυΐσκεσθαι· αὗται γὰρ κυριώταται. Ἢν δὲ μὴ αὐτίκα [13] ξυλλάβῃ, τἄλλα δὲ καλῶς ἔχῃ, οὐδὲν κωλῦον ἐν τῇσιν ἄλλῃσι τῶν ἡμερέων ξυνιέναι τῷ ἀνδρί· προθυμίην γὰρ [14] σφίσι ποιέει ἡ μελέτη, καὶ ἀναχαλᾶται τὰ φλέβια, καὶ ἢν τὰ ἀπὸ τοῦ ἀνδρὸς ἀπιόντα ὁμορροθῇ κατ' ἴξιν τῷ ἀπὸ τῆς γυναικὸς, κυήσει·

[1] Ὧδε ἐπὶ τὰ (ἔπειτα) ἄλλα ἰέναι Cθ. — [2] τὰ om. K. - Post τὰ addit μὲν C. - ἰᾶσθαι Jθ. — [3] καὶ θ. - καὶ om. vulg. - διὰ τῶν στ. προφανέων τὴν αἰτίην κωλύονται vulg. - διὰ τὴν τῶν στ. αἰτίην διακωλύονται θ. - διακωλύειν ἢ ἴσχειν C. - ἔχειν θ. - σώματα pro στόματα J. — [4] ὁκόταν vulg. - ὅσων θ. - ἡ om. K. - εἴργῃ vulg. - εἴργει θ. - ἐσορᾷν vulg. - ἐς ὁρᾷν H. - ἐσθραν (sic) θ. - ἐσορῆν C. - διακωλύσῃ θ. - κωλύῃ C. — [5] ὅλον C. - δοκέει H. - κεινέεσθαι θ. — [6] τε om. C. - αὐτῶν θ. — [7] δ' θ. - μελαίνειν C. - μελαιδένειν θ. - ὡς C. - μὴ K. - ἐῶσι GIKθ. - λίαν D. - λείην θ. - αὖαι Cθ. - In marg. αὐαίν, cætera recisa sunt, erat sane αὐαίνωνται H. - αὐαίνουσαι vulg. - εὐσχόλως, al. manu ε ὐχύλως D. - εὐχυλῶς (sic) K. — [8] ὅσῳ καὶ (καὶ om. Cθ) vulg. - ἀχμηρότεραι HI. - ἐῶσι pro εἰσι θ. - ὑπολειπόμενος ἐνίγμους (sic) θ. — [9] λείην θ. - ἀνεξ. vulg. - ἀπεξ. θ. - τούτων Cθ. - πάντῃ Vatic. codd. ap. Foes in not. - φευκταίαι (sic) G, Ald. - φευκταῖαι K. - φευκταὶ θ. — [10] λαμβάνειν (λαμβάνει Cordæus, Lind.) δὲ (δὲ om. D) ἐν γ. οὔτε τὴν ὑγρήδονα ἔχουσαν, ἀτὰρ οὐδὲ τὴν αὐαινομένην vulg. - λαμβάνει δὲ ἐν γ. οὔτε ἡ ὑγρ. ἔχουσα, ἀτὰρ

17. (*Réflexions générales sur les cas où la femme ne peut concevoir.*) Il faut, considérant la force des maladies et déterminant convenablement les causes qui les engendrent, procéder au reste comme il a été dit et guérir les parties. Quand c'est l'orifice utérin qui empêche la femme de devenir enceinte, c'est l'orifice qu'il faut mettre en bonne disposition. Chez celles où l'humidité est l'obstacle, on prend les moyens pour l'écarter; examinant toute la condition de la femme, soit que quelque fluxion paraisse provenir de tout le corps, ou de l'utérus même, ou de l'un et de l'autre. On traitera la matrice de manière qu'elle ne soit ni humide ni trop sèche. Pour celle qui a trop de sécheresse, on prescrit, en proportion de la sécheresse, une abondance de suc, et un suc tel qu'elle soit plutôt grasse que maigre. Quand la matrice est abreuvée d'humidité, on la dessèche, lui laissant toutefois assez de suc pour qu'elle ne reste pas desséchée; car l'excès d'un côté ou de l'autre doit être soigneusement évité. On ne voit devenir enceintes ni celle qui a l'humidité, ni, non plus, celle qui a la sécheresse, à moins que ces conditions ne soient de leur constitution propre. La femme ira auprès de son mari, quand la cure a bien opéré, au début ou à la fin des règles; le mieux est quand elles ont cessé. C'est surtout dans ces jours qu'il faut essayer si elle peut concevoir; car ils sont les plus décisifs. Si la femme ne conçoit pas sur-le-champ, tout en étant bien du reste, rien n'empêche que dans les autres jours elle n'ait des rapports conjugaux; car le traitement excite des désirs, les veines sont béantes; et, si la semence de l'homme concourt directement avec celle de la femme, il y aura conception. Chez quelques femmes, en effet, la chose s'accom-

οὐδὲ (οὔτε θ) ἡ αὐαινομένη Cθ. – ἢν μή τι ἐν τῇ ἀρ. φ. τοῦτο ἐνῇ C. – τι pro ἢ θ. – ἐν om. J. – τούτων τι ἢ θ. — [11] ἀπὸ Clθ. – θεραπείης C. – καλῶς C, Lind. – καλῶς om. vulg. – τῶν ἐπικαταμηνίων DQ'. — [12] μὲν pro δὲ θ. — [13] συλλαμβάνει θ. – τὰ ἄλλα C. – οὐδὲν τὸ (τὸ om. C) κ. vulg. – τοῖσιν C. – τῷ Jθ. – τῷ om. vulg. — [14] σφιν θ. – φλεβία CJ. – κατιξι (sic) θ. – ἴξιν C. – τὸ DGHIK. – ταχύτερον (παχύτερον DFGJ; ταχύτερον om. C) κυήσει vulg.

καὶ γὰρ [1] τόδε ἄρτιον ἔστιν ᾗσιν, ἥν τε αὐτίκα ἥν τε ἐν ὑστέρῳ χρόνῳ. Ταῦτα μὲν ἀμφὶ τούτων λέλεκται.

18. Ἢν [2] δὲ ὑγρότερον ᾖ τὸ στόμα τῶν ὑστερέων, οὐ δύνανται εἰρύσαι τὸν γόνον· προσθέτοισι δὲ χρέεσθαι δριμέσι· δηχθεὶς γὰρ καὶ φλεγμήνας ὁ στόμαχος στεῤῥὸς ἔστιν ὅτε γίνεται· κατὰ δέ τι [3] ἠδέλφισται, ἢν σκιῤῥωθέωσιν· ἄρειον γὰρ τὰ δριμέα προστιθέναι· ἀδαξῶντα γὰρ, λεπτὰ καὶ πυρώδεα ἐόντα, τὸν [4] σκίῤῥον διαχέει· ἢν δὲ λαπαχθῇ ὁ σκίῤῥος, μαλθακοῖσιν ἰῆσθαι καὶ ὅ τι μὴ δήξεται.

19. Ἢν δὲ διὰ [5] πολλοῦ μὴ κυΐσκηται τῶν καταμηνίων ἐπιφαινομένων, ὅταν ᾖ τριταίη ἢ τεταρταίη, στυπτηρίην λείην τρίψας, διεὶς μύρῳ, [6] εἰρίῳ ἀνασπογγίζων προστίθει, καὶ ἐχέτω ἡμέρας τρεῖς· τῇ δὲ [7] τετάρτῃ, χολὴν βοὸς αὔην ἐν ἐλαίῳ ἀναζέσας, καὶ ἄχνην ἀναδεύσας πρόσθες, καὶ ἐχέτω ἐπὶ ἡμέρας τρεῖς· [8] τῇ δὲ ὑστεραίῃ ἐξελέσθω, καὶ τῷ ἀνδρὶ ξυνίτω.

20. [9] Ἢν τὴν γονὴν μὴ δέχηται ἡ γυνὴ τῶν γυναικηΐων κατὰ φύσιν ἐρχομένων, [10] μῆνιγξ ἐπὶ πρόσθεν ἔσται· γίνεται δὲ καὶ ἐξ ἄλλων· γνώσῃ δὲ τόδε τῷ δακτύλῳ εἰ ἅψῃ τοῦ προβλήματος. Πρόσθεμα δὲ [11] ποιῆσαι ῥητίνην καὶ ἄνθος χαλκοῦ, ἐν μέλιτι διεὶς, ὀθόνιον [12] ἀρδαλώσας,

[1] Τόδε αἴτιον (τὸ διαίτιον θ) (ἄρτιον C) ἔστιν ᾗσιν ἥν τε αὐτίκα ἥν τε (τ' θ) ἐν ὑστέρῳ (ἣν θ' ὑστέρω C) χρ. ἀπίῃ (ἀπίῃ om. θ) vulg. — [2] δὲ om. C. – δύναται CJ. – εἰρῆσαι C. – τὴν γονὴν πρόσθε· τοῖσι δὲ δριμέσι χρῆσθαι· δειχθεὶς γὰρ θ. – χρίεσθαι DFHJK. – γίγν. C. — [3] ἠδέλφισται. Καὶ (καὶ om. θ) ἢν σκυρωθῶσιν (σκυρωθέωσιν θ; σκιρωθέωσιν C; πληρωθῶσι, D al. manu σκυρωθῶσιν, FGHIJKQ') ἄρειον (ἀρεῖον DGI; ἄριστον C) (addunt γὰρ Cθ) τὰ δριμέα τε (τε om. CDHIKθ) προστιθέναι (addit καὶ Lind.) ἃ δήξονται (ἀδάξων pro ἃ δ. H) (δάξονται DFG, Ald.; δάξων sic IJK). Τὰ (ἀδαξῶντα pro ἃ δήξονται. τὰ Cθ; ἀδάξοντα Vatic. Codd. ap. Foes in not.) λευκὰ (λεπτὰ C, H al. manu, θ, Lind.; γλυκέα Cordæus) καὶ πυρώδεα (πυρρώδεα HIJK) vulg. – Il faut prendre les leçons de C et de θ, avec leur ponctuation. On remarquera que πληρωθῶσι de plusieurs mss. est pour πωρωθῶσι; Gal. Gl. : σκυρωθῶσι, πωρωθῶσι. — [4] σκῦρον vulg. – σκίρον CK. – σκίρρον DHJ. – σκύρον I, Ald., Frob. – Erot. p. 346 : καὶ ἢν σκυῤῥωθέωσιν, ἄρειον τὰ δριμέα προστιθέναι· ὀδάξοντα γὰρ καὶ λεπτὰ καὶ πυρώδη ἐόντα τὸν σκύῤῥον διακῆ· ἢν δε λαπαχθῇ, μαλακοῖσιν ἰήσασθαι. – λαπαθῇ D. – παχθῇ (sic), emend. al. manu H. – σκύρος vulg. – σκίρρος DHJ. – σκίρος IK. – ἰᾶσθαι θ. – δήξηται vulg. – δάξηται F. – δάξεται DGHIJKθ, Ald. – δήξεται C. — [5] παλαιοῦ Cθ. – οὐ μὴ C. – κατ. μὴ (μὴ om. θ) φαινομένων (ἐπιφαινομένων θ) vulg. — [6] εἰρίνῳ C. — [7] τρίτῃ θ. – αὖειν FG (H, emend. al. manu) IJ, Ald. — [8] τῇ δὲ τετάρτῃ χολὴν βοὸς αὖειν ἐν ἐλαίῳ pro τῇ.... ξυνίτω J. – δ' Cθ. – συν. Cθ. — [9] ἢν δὲ

plit, soit sur-le-champ, soit plus tard. En voilà assez sur ce cas.

18. (*Orifice utérin trop humide, empêchant que le sperme ne soit attiré.*) Si l'orifice utérin est trop humide, la matrice ne peut attirer la semence. On emploiera les pessaires âcres; en effet, l'orifice, irrité et s'enflammant, devient ferme parfois; il y a là une sorte d'affinité avec l'état squirrheux : état où il est bon d'appliquer les substances âcres. Les substances mordantes, étant atténuantes et chaudes, dissipent le squirrhe; et s'il se ramollit, on a recours aux émollients et à ce qui n'irrite pas (de la Nature de la Femme, § 21).

19. (*Moyen pour faire concevoir une femme qui est restée longtemps sans devenir grosse.*) Si la femme demeure longtemps sans concevoir, bien que les règles paraissent, prenez, le troisième ou le quatrième jour, de l'alun, broyez fin, détrempez dans un parfum, absorbez avec un lainage, et appliquez en pessaire; la femme le gardera trois jours; le quatrième, faites bouillir de la bile desséchée de bœuf dans de l'huile, mouillez-en de la charpie, et appliquez ce pessaire; elle le gardera pendant trois jours; le lendemain, elle le retirera, et ira auprès de son mari.

20. (*Membranes empêchant la conception.*) Si la femme (ibid., § 67) ne reçoit pas la semence, bien que les menstrues aillent naturellement, une membrane est en avant; cet empêchement provient aussi d'autres causes; le doigt, touchant l'obstacle, le fera reconnaître. Faites un pessaire avec résine et fleur de cuivre, délayées dans du miel, et étendues sur un

θ. – τὴν (τὴν om. vulg.) γ. θ. – ἡ γ. om. C. – γυναικείων vulg. – γυναικηίων C. – φύσιν μὴ γιγνομένων C. – γινομένων θ. — [19] ἡ (ἡ om. C; ἢ J) μῆνιγξ (μήνιξ DGH; μύνιγξ K) vulg. – ἐπιπρόσθεν K. – γίγν. C. – γνώσῃ (γνώσει θ) δὲ (addit ἦν Lind.) (addit τόδε C; τοῦδε θ) τῷ δακτύλῳ (addit εἰ J) ἅψῃ (ἅψ. L, Cordæus) vulg. — [20] ποιήσας Cordæus. – ῥητίνην GI, Ald. – ῥητίνης C. – μέλιτι εἰς (ἐς Cθ) ὀθόνιον vulg. – μέλιτι διεὶς ὀθόνιον Foes in not., Lind. – La correction de Foes est très-bonne. — [21] In marg. πολύνας, χρίσας BIK. – πρὸς θεράμμα (sic) C. – ἰσώτατα θ. – μυρρίνην θ. – μυρσίνην I. – χλιαρῷ DGH JK, Ald. – χλιαρῷ vulg. – διανίζεσθαι θ. – Ante πρῶτα addit ἢ C. – δὲ om. C.

πρόσθες ῥάμμα ἐκδήσας ἐκ τοῦ ἄκρου ὡς ἐσωτάτω· ὅταν δὲ ἐξελκύσῃς, τὴν μυρσίνην ἐν οἴνῳ ἀφεψῶν, τῷ οἴνῳ χλιερῷ διανιζέσθω· περιελεῖν δὲ τὸν χιτῶνα ἄμεινον.

21. [1]Εἰσὶ δὲ γυναῖκες αἵτινες λαμβάνουσι μὲν ῥηϊδίως ἐν γαστρὶ, ἐξενεγκεῖν δὲ οὐ δύνανται, ἀλλὰ σφέων τὰ παιδία διαφθείρονται ἅμα τῷ τρίτῳ μηνὶ ἢ [2]τῷ τετάρτῳ, οὐδεμιῆς βίης ἐπιγενομένης, οὐδὲ βορῆς ἀνεπιτηδείου. [3]Καὶ ταύτῃσιν αἴτιόν ἐστιν ἓν τῶν εἰρημένων· καὶ μάλιστα ἐπὴν παραμεθίωσι τῆς αὔξης τῷ ἐμβρύῳ αἱ μῆτραι. [4]Κοιλίη σφιν ταράσσεται, [5]καὶ ἀσθενείη καὶ πυρετὸς σφοδρὸς καὶ ἀσιτίη ἐμπίπτει τῷ χρόνῳ τούτῳ, ᾧ ἂν τὰ παιδία φθείρωσιν. [7]Ἔστι δὲ καὶ τόδε αἴτιον, ἢν αἱ μῆτραι [6]ἔωσι λεῖαι ἢ φύσει ἢ ἑλκέων αὐτέῃσιν ἐγγενομένων· ἢν γὰρ λεῖαι [7]ἔωσιν, ἔστιν ὅτε οἱ ὑμένες ἀπ' αὐτέων ἀφίστανται, ἐπὴν τὸ παιδίον ἄρχηται κινέεσθαι, οἱ περιισχόντες αὐτὸ, ἅτε ἡσσόνως ἐχόμενοι τῶν μητρέων ἢ ὡς δεῖ, οἷα λείων ἐουσέων. [8]Εἰδείη δ' ἄν τις τουτέων ἕκαστα, εἰ ἐρωτῴη ἀτρεκέως ταῦτα· [9]περὶ δὲ τῆς λειότητος, εἰ ἑτέρη γυνὴ ψαύσειε τῶν μητρέων κενεῶν ἐουσέων, [10]οὐ γὰρ ἄλλως διάδηλον γίνεται. Ἢν δὲ [11]ἴῃ

[1] Εἰσὶ....' τόκου p. 62 l. 3, transponitur p. 64 l. 12 post ἐχουσέων Cθ. – δὲ om. C. – σφῶν θ. – φθείρονται C. – ἢ (ἢ om. θ) ἅμα vulg. — [2] τῷ om. C θ. – βίης Cθ. – αἰτίης vulg. – ἐπιγινομένης CDHK. – ἐπιτηδείου (D, emend. al. manu) FGHJ, Ald. — [3] καὶ τοῦτό (τούτω K) ἐστιν αἴτιον τὸ εἰρημένον (τῷ εἰρημένῳ K; τοῦ εἰρημένου Cordæus) vulg. – καὶ (καὶ om. C) ταύτῃσιν αἴτιόν ἐστιν ἓν (ἓν om. θ) τῶν εἰρημένων Cθ, Lind. – παραμινυθέωσι vulg. – παραμυθέωσι GJ. – παραμηθέωσι DK. – παραμεθέωσι HI. – παραμεθίωσι Cθ. – Cette correction, justifiée par les mss., a été indiquée par Schneider dans son Dict. au mot παραμινύθω. – αὐξήσεως vulg. – αὔξης Cθ. — [4] ἡ ἡ (ἡ ἡ om. Cθ) κ. vulg. – σφῶν DHK. – σφῖν I. — [5] κα[illegible]θ. – καὶ om. vulg. – ἀσθένεια vulg. – ἀσθενείη θ. – ἀσθενέει C. – ἀσθένεια δὲ καὶ Cordæus, Lind. – αἰτίη pro ἀσιτίη θ. — [6] λεῖαι ὦσιν C (θ, ἐῶσιν). – ἐῶσι GIK. – λεῖαι.... ἔωσιν om. J. – ἐν (ἐν om. C) αὐτῇσιν (αὐτέῃσιν C) vulg. — [7] ἐῶσιν θ. – ἔστιν ὅτε περιέχοντες αὐτὸ ὑμένες ἧσσον ἢ ὡς δεῖ ἐχόμενοί εἰσιν ἢ τῶν μητρέων ἀλέων ἐουσέων vulg. – ἔστιν ὅτε περιέχοντες αὐτὸ ἅτε ἧσσον ὡς ἐχόμενοι τῶν μητρέων ὡς δεῖ οἱ ἁλίων ἐουσέων (D, restit. al. manu textu vulg., cum δὴ pro δεῖ et ἁλέων pro ἀλέων) FG(HI, Ald., cum ἁλίων) (J, cum ἀλλοίων) K. – ἔστιν ὅτε οἱ ὑμένες ἀπ' αὐτέων ἀφίστανται, ἐπὴν τὸ παιδίον ἄρχηται (ἄρα ἤ τε θ) κινέεσθαι (κεινέεσθαι θ) οἱ περισχόντες (περιισχόντες θ; περιέχοντες Vatic.) αὐτὸ ἅτε ἡσσόνως (ἧσσον ὡς θ, Vatic.) ἐχόμενοι τῶν μητρέων ἢ ὡς δεῖ ἀτελέων (οἷα λείων θ) ἐουσῶν (ἐουσέων θ) Cθ, Vatic. Codd. ap. Foes in not. – ἔστιν ὅτε περιέχοντες ἔμβρυον ὑμένες ἧσσον ἢ ὡς δεῖ ἐχόμενοί εἰσιν,

linge, qu'on introduira aussi avant que possible, après avoir mis un fil à un des bouts; en le retirant, la femme se lavera avec du vin tiède où du myrte aura cuit. Il vaut encore mieux enlever la membrane.

21. (*Indication des causes qui font que certaines femmes avortent spontanément le troisième ou le quatrième mois.*) Il est des femmes qui, à la vérité, conçoivent facilement, mais ne peuvent aller jusqu'au bout de leur grossesse; elles avortent le troisième mois ou le quatrième, sans aucune violence, sans aucun aliment nuisible. Chez ces femmes, la cause en est une de celles qui ont été indiquées, mais surtout quand la matrice laisse échapper une partie de ce qui est destiné à la croissance de l'embryon. Le ventre se dérange, il survient de la faiblesse, une forte fièvre et de l'anorexie au moment de l'avortement. Il faut aussi compter parmi les causes l'état lisse de la matrice, soit naturellement, soit à la suite d'ulcérations; en effet, quand la matrice est lisse, parfois les membranes enveloppantes s'en détachent, quand l'enfant commence à se mouvoir, attendu qu'elles tiennent moins à l'utérus qu'il ne faut, en raison de l'état lisse de cet organe. On reconnaîtra ces diverses conditions, en interrogeant exactement; mais, pour l'état lisse, il faut qu'une autre femme touche l'utérus quand il est vide, car autrement la chose ne serait pas apparente. Quand les règles vont chez ces femmes, elles sont très-abon-

τῶν μεγάλων οὐλέων ἐουσέων Cordæus. – ἔστιν ὅτε οἱ ὑμένες, οἱ περιέχοντες τὸ ἔμβρυον, ἧσσον ἢ ὡς δεῖ ἐχόμενοί εἰσι, τῶν μητρέων ἀλέων ἐουσέων, καὶ ἀπ' αὐτέων ἀφίσταται, ὅταν τὸ παιδίον ἄρχηται κινέεσθαι Lind. — [8] εἰ δ' εἴη δ' ἄν τις θ. – δ' om. C. – τουτέων CG. – τούτων vulg. – ἐρωτῶν C. — [9] περὶ δὲ ἢ ὡς δὲ ἀτελέως pro π. δὲ τῆς λ. Vatic. Codd. ap. Foes in not. – ἑρετέρη (sic) pro εἰ ἑτέρη θ. – ψαύσειο FG. – κενέων (sic) C. – κενῶν θ. – ἐουσῶν θ. — [10] οὐ γὰρ ἁρμόδια (ἁρμόδια G, Ald.; ἁρμόδεια H; ἁρμωδια sic θ), δῆλον γίνεται vulg. – οὐ γὰρ ἄλλω (ἄλλως Lind.) διάδηλον γίγνεται C. – La correction de Lind., appuyée sur ἄλλω de C, me paraît bonne. Cependant on pourrait conjecturer : ἁρμῷ διάδηλον; car, tant que l'orifice est fermé, la chose n'est pas apparente; prenant ἁρμῷ dans le sens qu'il a en ce passage du livre du Cœur : κλείεται δὲ ἐς τὴν καρδίην οὐχ ἁρμῷ. — [11] ἴωσι vulg. – ἴῃ C. – ἴωσι GI, Ald. – ἀλέα vulg. – ἀλέα C. – ἔρχονται GHIK.

καὶ ἢν ἐπικρατήσῃ, τῷδε ἠδέλφισται· τότε γάρ μάλιστα τὸ στόμα τῶν μητρέων κέχηνε, καὶ [1] τετανόν ἐστι μετὰ τὰς καθάρσιας, καὶ αἱ φλέβες [2] τὴν γονὴν σπῶσιν· ἐν δὲ τῷ πρὶν χρόνῳ τό τε στόμα τῶν μητρέων μέμυκε μᾶλλον, καὶ αἱ φλέβες πλέαι αἵματος ἐοῦσαι οὐχ ὁμοίως σπῶσι τὴν γονήν. [3] Ἢν δὲ ὁ γόνος ἀποῤῥέῃ διιπετὴς, καὶ μὴ λήγῃ, οὐ μίσγεται ἀσπασίως τῷ ἀνδρὶ, οὐδὲ κυΐσκεται, καὶ ἰξύες ἐπώδυνοι, καὶ πῦρ ἔχει βληχρὸν, καὶ ἀδυναμίη, καὶ ἀψυχίη· καὶ ἔστιν ὅτε αἱ ὑστέραι [4] ἐν τῇ σφέων αὐτέων μὴ εἰσὶν ἕδρῃ. Ἢν μὲν οὖν ὑπὸ πλησμονῆς ἴῃ, ἐᾷν ἄριστον· ἢν [5] δὲ ἡ ὑστέρη χαλάσῃ, δίαιτα χόνδρος, κρέας ὕειον ἢ φάσσης, [6] οἶνος μέλας, ποτήματα ὅσα πρὸς ῥόον γεγράψεται.

25. Νῦν δὲ [7] ἐρέω ἀμφὶ νουσημάτων τῶν ἐν γαστρὶ ἐχουσέων. [8] Φημὶ γυναικὶ ἐν γαστρὶ ἐχούσῃ δίμηνον ἢ τρίμηνον καὶ περαιτέρω, ἢν τὰ ἐπιμήνια [9] χωρέῃ αὐτῇ κατὰ μῆνα ἕκαστον, ἀνάγκη λεπτήν τέ μιν γενέσθαι καὶ ἀσθενέα· ἔστι δ' ὅτε καὶ πῦρ ἐπιλαμβάνει τὰς ἡμέρας ἕως ἂν χωρέῃ τὰ ἐπιμήνια, καὶ ἐπὴν [10] χωρέῃ· καὶ μετὰ τὴν χώρησιν χλωρὴ γίνεται, [11] χωρέει δὲ ὀλίγα. Ταύτῃσι κεχήνασιν αἱ μῆτραι μᾶλλον τοῦ καιροῦ, παραμεθίασί τε τῆς αὔξης τοῦ ἐμβρύου· κατέρχεται γὰρ, ἐπὴν ἐν γαστρὶ ἔχῃ ἡ γυνὴ, ἀπὸ παντὸς τοῦ σώματος αἷμα ἐπὶ τὰς μήτρας κατ' ὀλίγον, καὶ περιιστάμενον

[1] Τέτανος vulg. – τετανὴς H. – τετανὸν Cθ, Cordæus, Lind. – καὶ (καὶ om. θ, Cordæus, Lind.) μετὰ vulg. – καθάρσηας C. — [2] τὴν.... φλέβες om. C. – σιτῶσιν (sic) bis θ. – ἐν τῷ δὲ πρὶν I. – κέχηνε pro μέμυκε J. – μέμυκε, καὶ μᾶλλον vulg. – μέμυκε μᾶλλον, καὶ θ. – πλεῖαι vulg. – πλέαι θ. – οὖσαι θ. — [3] ἢν δὲ (addit ὁ Lind.) γόνος ἀποῤῥέῃ διιπέτης, καὶ ἡ γυνὴ τῷ ἀνδρὶ οὐ ξυμμίσγεσθαι φιλεῖ, καὶ ξυνεοῦσα οὐ κυΐσκεται, καὶ ἢν ὀσφὺς καὶ τὰ ἰσχία πόνους παρέχωσι (καὶ ἡ γυνὴ.... παρέχωσι om., D restit al. manu, FGHIJK, Ald.), καὶ μὴ (καί μιν Lind.) πῦρ ἔχῃ βληχρὸν, καὶ ἀδυναμίη καὶ ἀψυχίη ἐπιγένηται (ἐπιγένη FG, Ald.; ἐπιγίνεται Lind.), καὶ ἔστιν vulg. – ἢν δὲ γόνος (δ' ἡ γονὴ θ) ἀποῤῥέῃ διιπετὴς (διειπέτης sic θ) καὶ μὴ λήγει (λήθη θ), (hic addunt καὶ ἡ γυνὴ Vatic. Codd.) οὐ μίσγεται (ξυμμίσγεται Vatic.) ἀσπασίως τῷ ἀνδρὶ, καὶ οὐ (οὐδὲ pro καὶ οὐ θ) κυΐσκεται (καὶ οὐ κ. om. Vatic.), καὶ ἰξύες ἐπώδυνοι, καὶ πῦρ ἔχει βλυσχρὸν (βληχρὸν θ), καὶ ἀδυναμίη καὶ ἀψυχίη, καὶ ἔστιν Cθ, Vatic. Codd. ap. Foes in not. – Erot., p. 132 : διιπέτης ὁ γόνος, ἀντὶ τοῦ διαυγὴς καὶ καθαρός. — [4] ἐν τῇ om. θ. – τῷ pro τῇ C. – σφῶν αὐτῶν θ. – μὴ om. CDFGHIJKθ, Ald. – ἕδρην εἰσὶν θ. — [5] δ' DHIJK, Ald. – ἡ θ. – ἡ om. vulg. – ὑστέρην DFGHIJK, Ald. – διαιτᾶν C. – οἴειον H. – φάσης C. — [6] ἢ (ἢ om. Cθ) οἶνος vulg. – ποτ. δὲ (δ' DGHIJK; δὲ om. Cθ) ὅσα vulg. — [7] ἐρρέω C. – νοσ. Cθ, Cordæus. — [8] φημὶ [δὲ] Lind. –

s'il arrive qu'il y ait prédominance, c'est de ce côté que se fait la coalescence. A ce moment, surtout, après la purgation menstruelle, la matrice a l'orifice béant et tendu, et les veines attirent la semence; mais, dans le temps précédent, l'orifice est plus fermé, et les veines ne l'attirent pas aussi bien, étant pleines de sang. Si la semence s'échappe pure et sans intermission, la femme n'aime pas à avoir des rapports avec son mari, elle ne devient pas enceinte, les lombes sont douloureuses, il y a fièvre lente, adynamie, lipothymie; et parfois la matrice n'est pas à sa place. Si le flux vient de plénitude, le mieux est de le laisser aller; si, au contraire, la matrice est relâchée, on prescrira pour alimentation le gruau d'orge, la viande de porc ou de pigeon, le vin rouge, et les boissons qui seront indiquées contre les écoulements.

25. (*Maladies des femmes enceintes. Diverses causes d'avortement: persistances des règles; diarrhée; saut; chute; frayeur; excès d'alimentation, etc.*) Maintenant, je vais parler des maladies des femmes grosses. Je dis que, chez une femme grosse de deux mois, ou de trois, ou plus, si les règles viennent chaque mois, nécessairement elle sera maigre et faible. Parfois même, la fièvre la prend à l'approche des règles, jusqu'à ce qu'elles coulent et pendant qu'elles coulent; après qu'elles sont passées, elle devient pâle; à la vérité, elles sont peu abondantes. Dans ce cas, la matrice est plus ouverte qu'il ne convient, et laisse échapper une partie de ce qui est destiné à la croissance de l'embryon. En effet, dans l'état de grossesse, il va de tout le corps à la matrice du sang peu à peu; ce sang, se disposant circulairement autour du produit de la conception, en détermine la crois-

τῇ (τῇ om. C) γ. vulg. - καίπερ ἑτέρω θ. — [9] παραχωρέῃ (χωρέῃ θ) αὐτίκα (αὐτῇ Cθ, Cordæus) κατὰ vulg. - ἐν αἷς pro ἕως J. - ἐπειδὰν θ. — [10] χωρέει Ald. - Post χ. addunt τὰ καταμήνια Cθ. - γίγνεται C. - γίνηται GIJ, Ald. — [11] καὶ (ἦν pro καὶ Lind.; καὶ om. θ) χωρέῃ (χωρέει C, H al. manu, Kθ) δὲ (δὴ Lind.) ὀλ. vulg. - Ante παραμ. addit καὶ θ. - παραμεθιᾶσιν C. - τε om. CFGHIJKθ, Ald.

[1]κύκλῳ περὶ τὸ ἐν τῇσι μήτρῃσιν ἐὸν αὔξει κεῖνο· ἢν δὲ χάνωσιν αἱ μῆτραι μᾶλλον τοῦ καιροῦ, παραμεθίασι τοῦ αἵματος κατὰ μῆνα, ὥσπερ εἴωθε χωρέειν, καὶ τὸ ἐν τῇσι μήτρῃσιν ἐὸν λεπτόν τε καὶ ἀσθενὲς γίνεται. [2]Μελεδαινομένης δὲ τῆς γυναικὸς, ἄμεινόν τε τὸ ἔμβρυον, καὶ αὐτὴ ἡ γυνὴ ὑγιαίνει· ἢν δὲ μὴ μελεδαίνηται, φθείρεται τὸ ἔμβρυον, κινδυνεύει δὲ καὶ [3]αὐτὴ τὸ νούσημα χρόνιον ἔχειν, ἢν οἱ ἡ κάθαρσις πλεῖον τοῦ δέοντος χωρέῃ μετὰ τὴν διαφθορὴν, οἷα τῶν μητρέων μᾶλλον ἐστομωμένων. [4]Καὶ κίνδυνος ἔσται, ἢν γυναικὶ ἐν γαστρὶ ἐχούσῃ ἡ κεφαλὴ φλεγματώδης [5]ᾖ, καὶ καταβαίνῃ τὸ φλέγμα δριμὺ ἐς τὴν κοιλίην, καὶ [6]καταῤῥήσῃ ἀπὸ τῆς κεφαλῆς τὴν κοιλίην, καὶ πῦρ ἐπιλαμβάνει αὐτὴν βληχρὸν, καὶ παλμοὶ ἔστιν ᾗσιν ἀσθενέες, ὑπεκλυόμενοι, ἐπαναδιδόντες, ὀξέες· ἢν δὲ καὶ ἀσιτίη ἔχῃ καὶ ὠδυναμίη, κίνδυνος ἐν τάχει φθαρῆναι τὸ ἔμβρυον, [7]καὶ αὐτὴ ἐν κινδύνῳ ἔσται ἀπενεχθῆναι, ἢν μὴ μελεδαίνηται, ἐπὴν ἀποφύγῃ, ἅτε τῆς κοιλίης εὐρόου ἐούσης, ἀλλ' αὐτίκα δεῖ καταλαμβάνειν. Πολλοὶ δὲ καὶ ἄλλοι εἰσὶ κίνδυνοι, [8]ἐν οἷσι τὰ ἔμβρυα φθείρονται· καὶ γὰρ ἢν ἡ γυνὴ ἐν γαστρὶ ἔχουσα νοσήσῃ καὶ ἀσθενὴς ᾖ, [9]καὶ ἄχθος βίῃ ἀείρῃ, ἢ πληγῇ, ἢ πηδήσῃ, ἢ ἀσιτίῃσιν [10]ἢ λειποθυμίῃσιν ἔχηται, ἢ πλέονα ἢ ὀλίγην τροφὴν λαμβάνῃ, ἢ δειδίσσηται καὶ πτύρηται, ἢ κεκράγῃ ἢ ἀκρατήσῃ· [11]καὶ τροφὴ δὲ αἰτίη φθορῆς καὶ τὸ αἷμα πουλύ. Καὶ [12]αὐταὶ δὲ αἱ μῆτραι ἔχουσι φύσιας ᾗσιν ἐξαμβλέεται,

[1] Κυκλόσε Cordæus. – παραμεθιᾶσι J. – καὶ παραμεθιᾶσι τῆς αὔξης τοῦ ἐμβρίου καὶ τοῦ αἵματος κατὰ C. — [2] μελαιδενομένης θ. – τε τὸ θ. – τό τε vulg. – Post ἔμβρ. addit [ἔχει] Lind. – αὕτη HKθ. – ὑγιαίνει Cθ, Lind. – ὑγιαίνει om. vulg. — [3] αὕτη HKθ. – νόσημα CKθ. – ἴσχειν θ. – οἴμαι pro οἱ ἡ C. – πλείων Cθ. – χωρέει C. – φθορὴν J. — [4] καὶ κίν. ἔσται. Ἢν δὲ γυναικὶ vulg. – Je supprime le δὲ et le point. La marche de la phrase indique cette correction. – ἢ pro ἡ J. — [5] ᾖ (εἴη C), καταβαίνει (καὶ καταβαίνῃ CDFHIJ, K καταβαίνει, Ald.) τὸ vulg. — [6] καταρήσσει DGHIK, Ald. – καταῤῥήσσει vulg. – καταρήσσῃ C. – καταρήσσῃ θ. – ἐς τὴν Cθ. – Post πῦρ addit μιν θ. – αὐτὴν om. C. – In marg. ἀντὶ τοῦ σφυγμοὶ θ. – εἰσὶν pro ἔστιν C. – ἀσθενὲς θ. – ἐσαναδιδόντες C. – ὀξέεσι (sic) δὲ καὶ C. – ἢν δὲ om. θ. – καὶ om. K. – ἔχει θ. – Post κίνδ. addit ἐστιν θ. — [7] καὶ om. θ. – αὕτη CHK. – ἔσται (addit ἡ C) ἀπενηνεγμένη (ἀπενεχθῆναι Cθ, Vatic. Codd. ap. Foes in not., Cordæus, Lind.) vulg. – μὴ om. C. – μελεδαίνηται. Ἐπὴν δὲ (δὲ om. C, D restit. al. manu, FGHIKθ, Ald.) ἀπ. vulg. – Il vaut mieux supprimer le point et δέ. – κοιλίας J. – εὐρόους οὔσης θ. – ἀλλ' Cθ. – ἀλλ' om. vulg. — [8] ἐν om. Cθ. – οἷς θ. – ἀσθενήσῃ vulg. – ἀσθενὴς ᾖ θ, — [9] καὶ ἄχθος (πάθος J) βιήσηται vulg. – ἢ (ἢ

sance. Mais si la matrice est trop ouverte, elle laisse échapper du sang chaque mois, comme c'est l'habitude; et le produit de la conception devient maigre et faible. Avec un traitement, l'enfant profite, et la femme elle-même se rétablit; sans traitement, la femme avorte, et elle court risque d'avoir une affection chronique, si, après l'avortement, la purgation est plus abondante qu'il ne faut; ce qui peut arriver, vu que la matrice est trop ouverte. Il y aura encore danger, si, chez une femme grosse, la tête est pituiteuse et qu'il en descende dans le ventre de la pituite âcre, qui provoque la diarrhée; il survient une fièvre sourde; en quelques cas, des battements faibles, s'en allant, puis reprenant et précipités. Si, en outre, il y a anorexie et adynamie, il est à craindre qu'elle n'avorte promptement, et elle-même, après l'avortement, sera en danger de succomber, si elle n'est traitée, vu que le ventre est dérangé, aussi faut-il le resserrer sur le champ. Il est encore bien d'autres périls qui compromettent le fœtus; en effet, la femme enceinte peut avorter si elle est malade et s'affaiblit, si elle soulève un fardeau avec effort, si elle reçoit un coup, si elle saute, si elle est affectée d'anorexie ou de lipothymies, si elle prend beaucoup ou peu de nourriture, si elle a une frayeur, un tressaillement, si elle pousse des cris, si elle se livre à ses passions. La nourriture et beaucoup de sang sont causes d'avortement. La matrice elle-même a des conditions qui font avorter, étant venteuse, dense, lâche, grande, petite, et autres états analogues. Si une femme enceinte

om. θ) καὶ (καὶ om. Vatic. Codd.) ἄχθος βίῃ ἀείρῃ Cθ, (Vatic. Codd. ap. Foes in not., ἀείρει). – πληγῇ DHKθ. – ἀσιτίησιν C. – ἀσιτήσῃ vulg. — [10] ἢ om. C. – λιποθυμίης ἴσχηται θ. – λειποθυμίῃ vulg. – ἢ πλέον ἀπ' ολίγην θ. – πλείονα C. – λαμβάνει C. – δεδίσσηται CDK. – δειδίσσηται Jθ. – πύρηται D (H, al. manu πτ) IJK. – κεκρακτησῃ (sic) siue ἢ ἀκρατήσῃ θ. — [11] καὶ γὰρ (καὶ γὰρ om. Cθ) καὶ vulg. – Ante τρ. addunt ἡ L, Lind. – δὲ Cθ. – δὲ om. vulg – φθορᾶς D. – τὸ αἷμα θ. – πόμα pro τὸ αἷμα vulg. – Cette leçon de θ empêche une répétition. – πολὺ θ. — [12] αὗται vulg. – αὐταὶ Cordæus, Lind. – δὲ om. C. – αἱ CDHILθ, Ald., Cordæus, Lind. – αἱ om. vulg. – φύσηας C. – οὖσαι om. θ. – ἐοῦσαι L, Lind. – πυκναὶ Cθ. – μαναὶ θ. – μαναὶ om. vulg. – μικραὶ vulg. – σμικραὶ C. – ὁκόσα D.

115. (*Écoulement roux.*) L'écoulement roux est abondant et fétide comme d'un œuf gâté ; la matrice est enflammée, il y a douleur aux lombes et aux aines ; le flux est abondant, et, s'il n'y a pas amélioration, il coule rapidement. Dans le cas où le mal se prolonge, l'écoulement produit une très-grande corruption ; car il est comme du jus de viande cuite. Avec ces accidents surviennent des fièvres fortes et des frissons. De tels écoulements font périr la plupart des femmes, et peu réchappent. Si vous avez la malade dès le début, il faut traiter ainsi : en cas d'apyrexie et de force, donner l'ellébore ; cela fait, laisser reposer trois jours ou quatre, et administrer un évacuant par le bas. Après la purgation, conduire, afin que le flux soit aqueux et onctueux, le régime ainsi : le matin, à jeun, donner à boire, en poudre dans du vin, quelqu'un des médicaments que j'écrirai pour le flux ; après le médicament, prescrire un régime général, et, en particulier, traiter ainsi la matrice : si elle est enflammée et fermée, administrer des fumigations émollientes, jusqu'à ce que l'orifice en devienne mou ; après les fumigations, faire les injections qui paraîtront convenables, soit plus actives soit moins actives ; après les injections, appliquer en pessaire les émollients. Si l'orifice utérin ne cède pas facilement, faire des fumigations, et l'amollir par des pessaires que j'écrirai, jusqu'à ce qu'il s'ouvre. Si le flux ne cesse pas par ces moyens, purger la tête, et prescrire ce régime : boire, s'il y a dysurie, du lait d'ânesse ; herbages cuits, cul-

(τι pro ἢ θ) πίνειν vulg. – ἃ pro ὧν ἂν θ. – ἐν om. Cθ, Ald. – διαίτῃ θεραπεύειν δὲ τὰς ὑστ. ὧδε· ἢν θ. – καὶ τὰς ὑστ. sine δὲ C. – ὧδε χρὴ L, Lind. – φλεγμήνωσι καὶ ξυνμηκύνωσι, πυριᾶν χρὴ μαλθακῇ εἴ τῆσι πυρ. θ. – ξυμμεμύκασι DFGHIK. – τῆσι δὲ πυρ. FGH (I, τῆσιδε) JK, Ald. — [11] μέχρι τὸ στόμα εὔλυτον καὶ ὁ στόμαχος μαλθακὸς γένηται θ. – τῶν μη. om. θ. — [12] ὁκοίῃσιν J. – ὁποίοις θ. – ἢν pro ἂν θ. — [13] ἢν δὲ τὸ στ. μὴ εὔλ. γίνηται θ. – ἄλυπον J. – γένηται D. — [14] μέχρις ἂν στομωθῇ, mutat. al. manu in μέχρις ἀναστομωθῇ H. – μέχρι sine ἂν θ. – στομωθῇ DFGIJL. – πρὸς ταῦτα μὴ CDFHIJKθ. – οὕτως vulg. – οὕτω CJθ. – διαιτεῖν C.

τὴν κεφαλὴν, καὶ οὕτω διαιτῆν· ἢν μὲν [1] δυσουρέῃ, ὄνου γάλα πίνειν· λαχάνοισιν ἑφθοῖσι καὶ ἡμέροισι καὶ ἀγρίοισι, πλὴν σκορόδων καὶ πράσων καὶ κράμβης καὶ ῥεφάνου τῆς μακρῆς· θαλασσίων [2] βάτῳ τῷ λείῳ, σκορπίῳ, γόγγρῳ, νάρκῃ, ἐγχέλυϊ, ψήσσῃ, κωβιῷ, ἑψεῖν [3] δὲ χρὴ ἐν κρομμύοισι καὶ κοριάννοισιν, ἐν ἅλμῃ γλυκείῃ καὶ λιπαρῇ δίεφθα· κρεῶν δὲ μάλιστα μὲν συὸς, δεύτερον δὲ ἀρνὸς, ἢ ὄϊος, ἑφθοῖσι μᾶλλον ἢ ὀπτοῖσι, [4] καὶ ζωμοῖσιν· οἴνῳ λευκῷ μελιχρῷ ὑδαρεῖ· λουτροῖσιν ἄνευ τῆς κεφαλῆς, μὴ λίην θερμοῖσι μηδὲ πολλοῖσιν. Ἢν δὲ πρὸς ταύτην τὴν δίαιταν τῆς μὲν ἑλκώσιος καὶ [5] τῆς φλεγμασίης ἀπαλλάσσωνται, ὑγραὶ δὲ ὦσιν αἱ μῆτραι, ἀντὶ μὲν λουτρῶν ἀλουσίῃσιν, ἀντὶ δὲ [6] κιῤῥῶν οἴνων μέλασιν, ἀντὶ δὲ ὑδαρεστέρων ἀκρητεστέροισιν, ἀντὶ δὲ ἀλφίτων ἄρτοισι, ἀντὶ [7] δὲ ἰχθύων κρέασιν ὀπτοῖσι καὶ σιτίοισι πᾶσι [8] τοῖσι ξηραντικοῖσιν, οἷσιπερ ἐπὶ τῇσι διαῤῥοίῃσι χρεόμεθα· κλυσμῶν ἀπηλλάχθαι πάντων, πλὴν οἴνου καὶ ὕδατος· θυμιῆσθαι [9] δὲ τοῖσι στυπτικοῖσιν· ἄριστον δὲ ἐν γαστρὶ ἔχειν. Ἢν δέ τις νεῆνις ᾖ, ἐμέτους νήστιας, πυκνὰ δὲ ἐπεμέειν, καὶ μετέπειτα ἀριστίζεσθαι σμικρόν. Αὕτη τῶν ῥόων τῶνδε τυγχάνει δίαιτα.

116. Ῥόος λευκός· [10] ῥέει λευκὸν ὡς ὄνου οὖρον, καὶ ἐν τῷ προσώπῳ οἰδήματα, καὶ τὰ ὑποφθάλμια οἰδέει ἄμφω, ὑδρωποειδέα τε καὶ οὐ πάνυ εὐειδέα τὰ τῶν ὀφθαλμῶν, καὶ τὸ λαμπρὸν ἄπεστι, [11] καὶ γλάμυροὶ οἱ ὀφθαλμοὶ καὶ ἀμβλυώσσοντες, καὶ τὸ χρῶμα ἀφυώδες [12] καὶ φλυκταινοειδὲς, καὶ ἡ γαστὴρ ἐπανοιδέουσα ἡ νειαίρη, καὶ ἐν τῇσι γνάθοισι κατὰ [13] σμικρὸν ἐρυθροειδέα τε καὶ [14] σμικρὰ καὶ ὑδαρέα καὶ πονηρὰ, καὶ ἐν τοῖσι σκέλεσιν οἰδήματα, καὶ ἢν πιέζῃς τῷ

[1] Ἄπυρος ᾖ (δυσουρέῃ θ), ὄνου vulg. - ῥεφάνου Cθ. - ῥαφ. vulg. — [2] δὲ (δὲ om. Cθ) βάτῳ vulg. - κωβίῳ pro τῷ λείῳ θ. - ἐνγελύει θ. - ἐγχέλυ (sic) H. - ἐγχέλυν I. - κωβίῳ FGIKθ. — [3] δὲ om. D. - κοριάνοισιν CDHJK. - κοριάννοις θ. - γλυκεῖ ἢ καὶ λιπαρῇ θ. - ῥυπαρῇ DQ', Lind. - διέφθῳ Lind. - διεφθᾶν (sic) C. - δὲ μᾶλλον D. - δεύτερα K. - ἀρνοῦ vulg. - ἀρνὸς DFGIJK LQ'θ. — [4] καὶ τοῖσι (τοῖσι om. θ) ζ. vulg. - μελ. (μελίχροϊ C) ἢ (ἢ om. Cθ) ὑδ. vulg. - λουτροῖσιν om. θ. - πλὴν pro ἄνευ Cθ. - μηλίην pro μὴ λ. HJ. - πολλ. μηδὲ θερμ. DH. — [5] τοῖς J. - ἀπαλλάσσονται C. - ὑστέραι θ. — [6] κηρῶν G. - ἀκρητεστέρῃσι G. — [7] δ' θ. - ὀπτ. om. θ. — [8] τοῖς θ. - χρώμεθα θ. [9] δὲ om. θ. - δ' ἐν θ. - τις om. J. - νεᾶνις vulg. - νεάνις DH. - νεήνις (sic) C. - νηστείας vulg. - νήστιας Cθ. - δ' ἀπεμέειν Cθ. - μετὰ τοὺς ἐμέτους pro μετ-

tivés et sauvages, excepté l'ail, le poireau, le chou et la rave longue; poissons de mer, la raie sans épine, le scorpion (*cottus scorpio*), le congre, la torpille, l'anguille, le turbot, le gobius, les faire cuire avec poireau et coriandre dans de la saumure douce et grasse, ils doivent être très-cuits; viandes, en premier lieu le porc, en second l'agneau ou le mouton, bouilli plutôt que rôti, et des bouillons; un vin blanc, couleur de miel, aqueux; bains, sans la tête, ni très-chauds ni très-fréquents. Si, à l'aide d'un tel régime, l'utérus guérit de l'ulcération et de la phlegmasie, mais devient humide, supprimer les bains; vins noirs, au lieu de vins paillets, purs au lieu de coupés d'eau, pains au lieu de polenta; au lieu de poissons, viandes rôties, et tous aliments siccatifs, comme nous employons dans les diarrhées; renoncer à toutes les injections, sauf le vin, et l'eau; faire des fumigations avec les astringents. Il est très-bon pour la femme de devenir enceinte. S'il s'agit d'une jeune femme, prescrire les vomissements à jeun, les répéter souvent, et donner ensuite un petit déjeuner. Tel est le régime des écoulements.

116. (*Leucorrhée.*) Leucorrhée : l'écoulement est blanc comme de l'urine d'âne; gonflements dans le visage; le dessous des deux yeux est tuméfié; les yeux sont pleins d'eau et n'ont pas bon aspect, le brillant en est effacé, ils sont chassieux, et la vue est trouble. La peau est blafarde et se couvre de phlyctènes. Le bas-ventre se gonfle. Il survient aux mâchoires peu à peu une éruption rougeâtre, petite, aqueuse et de mauvaise nature. Les jambes enflent; si vous pressez avec le doigt, il s'y forme une empreinte comme dans la pâte. La bouche s'emplit

ἔπειτα θ. - σμικρὸν Cθ. - μικρὸν vulg. - αὐτῇ C. - τῶν θ. - τῶν om. vulg. - τυγχ. τῶνδε D. - τυγχ. om. Cθ. — [10] ῥεῖ θ. - λευκὸς J. - λευκὸν om. θ. - ὑδροποειδέα CDH. - δὲ pro τε D. - εὐειδέα Cθ. - ὀρεύμενα pro τὰ τῶν ὀφθ. C (θ, ὀρώμενα). — [11] καὶ οἱ ὀφθ. γλαμμυροὶ (γλαμυροὶ θ) ἀμβλυώσσοντες C (θ, ἀμβλυώσσ.). - γλαφυροὶ L. — [12] καὶ om. J. - φλεκταινοειδὲς FJ. - φληκτ. G, Ald. - φλυκτενοειδὲς H. - νειέρη FGHIK, Ald., Frob. - νειαρὴ Lind. - νιερὰ θ. - τοῖσι DFGHIJ, Ald. — [13] μικρὸν vulg. - σμ. θ. — [14] μικρὰ C. - πιεζέης CDHIJK.

δακτύλῳ, ἐμπλάσσεται [1] ὥσπερ ἐν σταιτὶ, καὶ τὸ στόμα σιέλου ἐμπίπλαται· καρδιωγμοί τε, ὁκόταν νήστιες ἔωσιν, καὶ ἐμέουσιν οἷον ὕδωρ ὀξύ· καὶ ἢν [2] πρὸς ἄναντες πορευθῇ, θᾶσσον ἆσθμα ἔχει, καὶ πνὶξ, καὶ σκελέων [3] ἀπόψυξις, καὶ γουνάτων ἀκρασίη, καὶ ἐν τῷ στόματι ἄφθαι, καὶ ὑστέρη παρὰ λόγον ἀνεστόμωται, καὶ ἐμπέπτωκεν ἐν τῷ στόματι βαρέη ὥσπερ μόλιβδος· καὶ διὰ τῶν [4] μηρῶν διατείνουσιν ὀδύναι, καὶ ἀποψύχεται πάντα τὰ κάτω, [5] τὰ ἀπὸ νειαίρης γαστρὸς ἀρχόμενα ἄχρι ποδῶν, [6] καὶ τὰ θέναρα τῶν ποδῶν ναρκῶσι, [7] καὶ ἐπιβαίνειν οὐ δύνανται. Τὰς τοιαύτας χαλεπὸν ἀπαλλάσσειν τῶν νοσημάτων· αἵ τε γὰρ ἡλικίαι προβεβήκασιν, οἵ τε κάματοι ξυγκαταγηράσκουσιν, ἢν μή τι εὐτύχημα τῶν αὐτομάτων λύσῃ γενόμενον. Ταύτῃσι χρὴ [8] ἀπαρύσαι, ὅταν πλεονάζῃ, φαρμάκοισιν ὅσσα χολὴν ξανθὴν μὴ καθαίρει, ἀλλὰ τὰ οὐρητικὰ [9] ταύτῃσι ξυμφέρει πινόμενα, καὶ κεφαλῆς καθάρσιες, καὶ ἀλουσίαι, καὶ τὸ λευκὸν ἐπίθυμον [10] ποιέει, καὶ περίπατοι, καὶ πᾶσα ξηρασίη ἐν τῇ διαίτῃ. Ταῦτα δρῶσαι ὑγιέες μὲν παντελῶς οὐ γίνονται, εὐπετέστερον δὲ διάγουσιν.

117. Ῥόου [11] λευκοῦ θεραπείη· καθαίρεται λευκὸν ὑπόχλωρον, καὶ ὅταν οὐρέῃ, δάκνει καὶ ἀμύσσει, καὶ ἑλκοῖ τὴν ὑστέρην, καὶ πυρετὸς ἔχει ὀξὺς, καὶ θέρμη πολλὴ, δίψα, ἀγρυπνίη, καὶ ἔκφρονες γίνονται, καὶ ὅταν σπουδάσῃ, ἆσθμά μιν ἔχει, [12] καὶ τὰ γυῖα λύονται. Ταύτην μήκωνα πιπίσκειν λευκὴν, καὶ κνίδης καρπὸν, ἄμεινον καὶ ῥοιῆς γλυκείης ῥίζαν καὶ φύλλα καὶ [13] ῥόον καὶ κικίδα· ταῦτα ἐν οἴνῳ στρυφνῷ πιπίσκειν, καὶ ῥοιῆς χυλὸν, καὶ ξυμμίσγειν τυρὸν αἴγειον·

[1] Ὡς θ. – τὸ om. θ. – πτυάλου ἐμπίμπλαται, καρδιωγμός τε ὅταν νήστις (sic) ἢ καὶ ἐμέουσιν οἷον ὕδωρ ὀξὺ θ. – νήστιδες DG. – νῆστις C. – νίστιδες F. – ἔωσιν, ἢ καὶ ἐμέωσιν (ἐμέουσιν CDFHIK) ὕδ. οἷον (οἷον om. C) (οἷον ὕδ. HI) ὀξὺ vulg. — [2] πρόσαντες vulg. – προσαναντες (sic) θ. – πνὶγξ θ. — [3] ἀπόπνιξις J. – πολλὸν pro παρὰ λ. θ. – βαρείη vulg. – βαρεῖα C. – βαρέη θ. — [4] μηρέων C. — [5] τὰ om. C (D, restit. al. manu). – νειέρης FGHIK, Ald., Frob. – νιαιρῆς C. – νιαιρης θ. – νειαιρῆς Lind. – μέχρι θ. — [6] κατὰ pro καὶ τὰ C. – τῶν ποδῶν θ. – τῶν π. om. vulg. — [7] καὶ CDGHIJKθ, Ald., Lind. – καὶ om. vulg. – τὴν τοιαύτην θ. – νουσ. DGHIJK, Ald., Lind. – προσβεβ. C. – συγκατ. θ. – εὐτυχημάτων αὐτομ. θ. – λύσιν FGHI. – λύσει Ald. – λυσιγενάμενον (sic) C. — [8] ἐπαρρύσαι C. — [9] ταῦτα θ. – καθάρσηες C. – ἀλουσίη Cθ. — [10] πίνειν (ποιέει θ) vulg. – πάσῃ θ. – δρῶσα ὑγιὴς.... γίνεται.... διάγει θ. — [11] ἐρυθροῦ pro λ. θ. – θεραπεία D. – θεραπίη C. – οὐρέει J. – οὐ ῥέει L

de salive. La femme a de la cardialgie quand elle est à jeun, et vomit une espèce d'eau acide; si elle monte une côte, elle est plus vite essoufflée. Elle suffoque, ses jambes se refroidissent; ses genoux sont sans force. Des aphthes naissent dans la bouche. L'utérus est béant contre nature, et pèse sur l'orifice comme un plomb. Des douleurs s'étendent à travers les cuisses. Toutes les parties inférieures se refroidissent depuis le bas-ventre jusqu'aux pieds; la plante des pieds est engourdie, et la malade ne peut marcher. Dans ces cas la guérison est difficile; car ce n'est plus l'âge de la jeunesse, et les souffrances s'invétèrent, à moins de quelque bonne fortune qui spontanément dissipe l'affection. Il faut administrer, quand il y a pléthore, des évacuants qui n'agissent pas sur la bile jaune. Les diurétiques en boisson conviennent, ainsi que les purgations de la tête, l'abstinence de bains, l'épithymon blanc (*cuscuta epithymon*), les promenades et tout ce qui, dans le régime, dessèche. Par ces moyens, les femmes, à la vérité, ne guérissent pas complétement, mais leur existence devient plus supportable.

117. (*Autre leucorrhée.*) Traitement de la leucorrhée: l'écoulement est blanc, jaunâtre; quand la femme urine, elle éprouve des mordications et des élancements; l'utérus s'ulcère; fièvre aiguë, beaucoup de chaleur; soif, insomnie; délire; si elle se livre à quelque occupation, elle est essouflée, et les membres sont dans le relâchement. En ce cas, faire boire le pavot blanc et la graine d'ortie, ou, mieux, la racine et les feuilles de grenadier blanc, le sumac et la noix de galle; donner cela à boire dans du vin astringent: donner du jus de grenade, et mêler du fromage de chèvre. Pour fumigation, épeautre, figues vertes d'hiver, feuilles d'olivier, galle d'olivier,

(Lind., ῥέῃ). - ἀμύσει καὶ ἑλκέοι ὑστ. C. - ἕλκοι θ. — [12] κατὰ pro καὶ τὰ C. - τὰ om. θ. - γῦα I. - ταύτην δέον (δ. om. Cθ) μ. vulg. - Ante λευ. addunt καὶ FHIJK. — [13] Voilà encore ῥόον mis pour ῥοῦν. - καὶ om. L. - κηκίδα Cθ, Lind. - διδόναι (διδ. om. Cθ) πιπίσκειν (πιπ. om. C) vulg. - ὑποκάπνι (sic) F. - δὲ om. C. - ὀλόνθους Cθ. - ὀλίνθους FHK. - ψώρας (ψώραν θ) τῆς αὐτῆς (τ. α. om. Cθ), καὶ vulg.

ὑποκάπνιζε δὲ ζειὰς καὶ ὀλύνθους χειμερινοὺς καὶ ἐλαίης πέταλα καὶ ψώρας, καὶ σικύης λέμματα τρίτον μέρος, τὰ δ' ἄλλα [1] ἴσον· καὶ τῶν ἑψανῶν ῥοφέειν, καὶ τὰ δι' ἀμυγδάλων καὶ σησάμου ῥοφήματα, καὶ αἰωρέεσθαι καὶ ὀχέεσθαι καὶ μὴ ἠρεμεῖν.

118. [2] Ῥόος ἄλλος· καθαίρεται ὁκοῖον προβάτου οὖρον πολὺ, χροιὴ λευκὴ, καὶ οἰδέει πᾶσα, καὶ ἐν τῇσι κνήμῃσι [3] πόμφοι ἀνίστανται, καὶ ἢν ἐπαφήσῃ τῷ δακτύλῳ, τῇσι κνήμῃσι καὶ τοῖσι ποσὶν ἐμπλάσσεται βοθροειδέα, καὶ ἤν τι φάγῃ, [4] ἐμπίπλαται, καὶ φλεγμαίνει, καὶ ἐπειδὰν ὁδοιπορήσῃ καὶ ἔργον τι δράσῃ, ἆσθμά μιν λαμβάνει καὶ πόνος, καὶ ἡ χροιὴ λευκὴ, ἐνίοτε ὑπόχλωρος. Ταύτῃ ἢν ἰσχύῃ [5] καὶ ᾖ νέη, καὶ τἄλλα φαίνηται, καταρχὰς δίδου ἄνω φάρμακον καὶ κάτω· καὶ τὴν κεφαλὴν κάθαιρε, ἢν μὲν φλεγματώδης ᾖ, δι' ὧν φλέγμα καθαίρεται, ἢν δὲ χολώδης, δι' ὧν χολή· καὶ ἢν ὥρη [6] ᾖ τοῦ ἔτεος καὶ ἢν μὴ φύσει ᾖ σπληνώδης, καὶ ἤν τι τῶν [7] εἰρημένων ᾖ, ὀῤῥὸν διδόναι, ἀφεψεῖν δὲ καὶ πίνειν ὡς πλεῖστον χρόνον· καὶ ἐς ἑσπέρην οἶνον γλυκὺν ὑδαρέα, ἢν δέῃ, σίτου δὲ μὴ ἅπτεσθαι· ἢν [8] δὲ ἀσθενὴς ᾖ, ῥοφήματι ὡς ἐλαχίστῳ, καὶ ἀλουτείτω· ἐπειδὰν δέ σοι καιρὸς δοκέῃ εἶναι, τῆς πόσιος παυέσθω, καὶ μετὰ τὴν κάθαρσιν σιτίοισι χρεέσθω, ἀπεχομένη λιπαρῶν [9] καὶ δριμέων καὶ γλυκέων, καὶ ἁλμυρῶν, καὶ λαχάνων [10] δριμέων, χρῆσθαι δὲ ἰχθύσι πετραίοισι καὶ κρέασι μηλείοισιν, ἢ ὀρνιθίοισιν, ἢ λαγωοῖσιν, ἄρτῳ [11] σποδίτῃ ἢ ἐρικτοῖσι, καὶ λαχάνοισιν ἑφθοῖσι χρεέσθω, καὶ ἀγρίοισι [12] τρωκτοῖσι καὶ ἡμέροισιν ἄτερ δριμέων· καὶ περιπατείτω πρωΐ [13] καὶ

[1] Ἴσα vulg. – ἴσον D. – ῥυφεῖν DFHIθ. – ῥυφῆν K. – ῥοφέειν C. – ῥιφεῖν GJ. – ῥοφεῖν vulg. – τὸ CDFGHKLθ, Lind. – ῥύφημα θ. – ῥόφημα CHLQ'θ, Lind. – καὶ ἐνορέεσθαί τε C. – ἐωρέεσθαι G, Ald. – τε καὶ θ. — [2] ἄλλος ῥόος D. – καθαίρεται Cθ. – καταῤῥέεται vulg. – οἷον θ. – ὁκοῖον ὡς πρ. C. – πουλὺ DHIJK. — [3] πολφοὶ C (F, al. manu) GI. – πόλφοι HKθ, Ald. – πόμφοι.... κνήμῃσι om., restit. al. manu D. – βοθριοείδεα (sic) θ. – θρομβοειδέα J. — [4] ἐνπίμπλαται θ. – φλεγμαίνῃ G, Ald. – ἐνίοτε λευκὴ J. – λίην pro ἐνίοτε θ. – Ante ὑπ. addit ἢ J. — [5] καὶ ἢν (ἢ pro ἢν Cθ) νέη vulg. – φάρμακα Cθ. – καθαίρειν Cθ. – ἢν (addit μὲν θ) φλ. ἐστι (ᾖ CJθ) vulg. – ὑφ' pro δι' (bis) Cθ. – ἢν pro δι' ὧν J. — [6] ἢν pro ᾖ C. – καὶ (addit ἢν θ) μὴ φ. ἐστὶ (ᾖ CJθ) vulg. — [7] εἰρ., ἢ (ᾖ J, Lind.) ὀῤῥ. (ὄρον Cθ) vulg. – ἐς om. IJK. – γλυκὺν οἶνον θ. – ἢν δὲ ᾖ C. – σιτίου θ. – ἁπτέσθω C. — [8] μὴ pro δὲ θ. – ἀσθενήσῃ C. – ῥυφ. θ. – ἀλουτείτω vulg. – ἀλουτίτω θ. – ἀλουτεέτω D. – χρήσθω θ. — [9] κ. δρ. om. Cθ. — [10] δρ. om. C. – δ' θ. – μὴ λίοισιν θ. – μηλίοισιν C. – ὀρνιθείοισιν DHJ. — [11] σιτώδει

écorce de concombre sauvage un tiers, du reste partie égale. Prendre des potages de légumes bouillis, des potages aux amandes et au sésame; se balancer, aller en voiture, ne pas rester en repos.

118. (*Autre leucorrhée. Règle pour la cure par le lait.*) Autre écoulement : le flux est abondant et comme de l'urine de mouton. La femme est décolorée; elle est toute gonflée; aux jambes s'élèvent des boutons. Si vous appuyez avec le doigt sur les jambes ou les pieds, l'impression en reste comme une fossette. Si elle mange quelque chose, elle ressent de la plénitude et de l'inflammation. Quand elle marche et fait quelque ouvrage, elle est essouflée et souffre. La peau est blanche, quelquefois jaunâtre. En ce cas, si elle est forte, jeune et que les autres signes concourent, donner, au début, un évacuant par le haut et par le bas; purger la tête, si la malade est pituiteuse, avec les médicaments qui évacuent la pituite; si elle est bilieuse, avec les médicaments qui évacuent la bile. Si la saison de l'année le permet, que la femme n'ait pas naturellement la rate malade et que quelqu'un des signes susdits existe, donner le petit lait, qui aura bouilli et dont elle boira le plus longtemps possible; le soir, du vin doux aqueux, s'il en est besoin; ne pas toucher aux aliments, sauf, en cas de faiblesse, un peu de potage, mais aussi peu que possible; point de bain. Quand le temps paraît venu, la femme cessera le petit lait, et, après cette purgation, elle prendra des aliments, s'abstenant des choses grasses, âcres, douces, salées, des herbages âcres; mangeant poissons de roche, viandes de mouton, volaille, lièvre, pain cuit sous la cendre, ou orge pilée; herbages bouillis; herbages qui se mangent crus, sauvages et cultivés, sauf ceux qui sont âcres. Elle se promènera le matin et après le re-

vulg. – σιτώδη H. – σποδίτη θ. – ἐρεικτοῖσι D. – ἐρίκτοισι HI. – χρήσθω θ. — [a] Gal. Gl. : τρωκτοῖσιν, ὠμοῖς ἐσθιομένοις. – ἄνευ J. – περιπατεέτω Lind. — [b] καὶ om. K. – τοῦ om. D. – ποιέοι FG. – ποιέειν J. – ποιέοντα (D, emend. al. manu) HK. – καὶ σκληροτέρη pro ξηρ. FGJ. – τρυγεὶ θ. – τέτταρας vulg. – τέσσερας θ. – ἡσυχίαν vulg. – ἡσυχίην HI, Lind.

ἀπὸ τοῦ σίτου. Ἐπὴν δέ σοι δοκέῃ ταῦτα ποιέοντι ξηροτέρη εἶναι, κλύζειν τὰς ὑστέρας τῇ τρυγί· τρεῖς δὲ ἢ τέσσαρας ἡμέρας διαλιπὼν, μετέπειτα στρυφνοῖσι κλύσαι, καὶ ἐπισχόντα, ἣν μὲν ᾖ ξηρὴ, ἡσυχίην ἄγειν, καὶ [1] ἢν φύσει ᾖ χολώδης ἢ φλεγματώδης, ὑπὸ δὲ τῆς διαίτης καὶ τῆς φαρμακοποσίης λεπτυνθεῖσα, ἢν μὴ δύνηται ἀναλαβεῖν, γάλα πινέτω τεσσαράκοντα ἡμέρας βόειον, θερμὸν ἀπὸ βοός. Τὴν δέ [2] γε φλεγματώδεα ἄμεινον σιτίοισιν ὡς ἐλαχίστοισι χρέεσθαι, ἕως ἂν γαλακτοποτέῃ, ἔστω δὲ μέτρον ὅσον ἓξ κοτύλαι ἀττικαὶ, [3] ἄρχεσθαι δὲ ἀπὸ δύο, καὶ προσθέτω κοτύλην ἑκάστης ἡμέρης, ἄχρις ἂν ἓξ γένωνται, κἀκ τοῦ κατ' ὀλίγον ἐπὶ τὸ ἔλασσον, καὶ μετὰ τὴν γαλακτοποσίην ἀνακόμιζε σιτίοισι καὶ διαίτῃ. Καὶ μετὰ [4] τὴν τοῦ γάλακτος πόσιν πινέτω πρωῒ νῆστις ἀδίαντον, ξηρήνας, κοψάτω, καὶ διασήσας διὰ χρησέρης, τοῦτο διδόναι [5] ἐν οἴνῳ μέλανι εὐώδει κεχρημένῳ. Ἢν δὲ ὑποστρέφῃ ἡ νοῦσος, πυριῆσαι αὐτὴν ὅλην, καὶ αὖθις φαρμάκοισι καθῆραι κάτω, καὶ μετὰ τοῦτο κλύσαι τὰς ὑστέρας, ἢν μὲν φύσει [6] ᾖ φλεγματώδης, τῷ κόκκῳ τῷ κνιδίῳ, ἢ τῇ ῥίζῃ τῆς θαψίης, ἢν δὲ χολώδης ᾖ, τῆς σκαμμωνίης τῷ ὀπῷ, ἢ κολοκυνθίδι τῇ ἀγρίῃ, κόψας, ἐπιχέας δύο κοτύλας ὕδατος, ἀφεψεῖν ἐς τὸ ἥμισυ, τουτέῳ ξυμμίσγειν μέλι καὶ ἔλαιον [7] ναρκίσσινον ἢ ἄνθινον· ἔστω δὲ τοῦ μὲν μέλιτος τεταρτημόριον κοτύλης, τοῦ δὲ ἐλαίου μέτρον ἡμιόλιον τοῦ μέλιτος· μεταχλύζειν δὲ τῷ μέλιτι καὶ τῷ οἴνῳ καὶ τῷ ἐλαίῳ μούνῳ, καὶ [8] θυμιῆσθαι, καὶ ἐπισχεῖν ἡμέρας τρεῖς ἢ τέσσαρας· ἀδίαντον δὲ πινέτω. Καὶ ἢν [9] μὴ ἐν γαστρὶ λάβηται,

[1] Ἐάν C. – φαρμακοπωσίης θ. – ἀναλαμβάνειν vulg. – ἀναλαβεῖν θ. – βόϊον θ. — [2] γε om. C (D, restit. al. manu) θ. – φλεγματώδη θ. – χρῆσθαι θ. – γαλακτοποτῇ Cθ. — [3] καὶ ἀρχ. δὲ C. – ἔρχεσθαι Ald. – δ' θ. – ἢ καὶ πρ. C. – προστιθέτω θ. – κοτύλη C. – ἐκ. ἡμ. om. C. – ἡμέρας vulg. – ἡμέρης DFHIKθ. – ἄχρι θ. – καὶ ἐκ τοῦ θ. – τοὔλασσον θ. – γαλακτοπωσίην θ. — [4] τοῦ γ. τὴν πόσι (sic) θ. – ἀδ. ξηρήνας (ξηρήνασα Cθ; ξηρὸν Q'; ξηρὴν ἢν DFGHIJK) κοψάτω (κ. om. θ) καὶ διασήσας (διασῆσαι C; διασήσασα θ) δι' (ἐξ pro δι' J) ἀκρῆς αἰρῆς (ἀκρησαίρης C) (διακρησερης sic θ; διὰ χρησέρης conjicit Foes; διὰ κνησέρης Lind.) vulg. – Erot., p. 232: κνησέρης, κνησέρα λέγεται ῥάκος χονδρὸν καὶ ἀραιὸν, δι' οὗ διηθοῦσί τινα ὡς δι' ἠθμοῦ· μέμνηται καὶ Ἀριστοφάνης ἐν ἀττικαῖς λέξεσι. – Gal. Gl.: χρησέρα, ἡ τοῦ ἀλεύρου πτίσις ὀνομαζομένη· μάρσιππος δέ τίς ἐστιν αὕτη λινοῦς. – διὰ χρησαίρης Mercur. in marg. — [5] ἐπ' οἴ. μ. οἰνώδει θ. – κεχρημένω εὐώδει DH. – κεχραμένῳ vulg. – κεχρημένω CIJ. – δ' θ. – ὑποστρεφέη (sic) J. – ὑποστροφῇ C. – πυριάσαι θ. –

pas. Quand, par ces moyens, elle paraît devenue plus sèche, faire des injections utérines avec la lie; puis, après une intermission de trois ou quatre jours, faire une injection astringente; nouvelle intermission, et, si la femme est sèche, se tenir tranquille. Est-elle de constitution bilieuse ou pituiteuse, et, amaigrie par le régime et la purgation, est-elle hors d'état de reprendre de l'embonpoint, elle boira, pendant quarante jours, du lait chaud sortant du pis de la vache. Pour la constitution pituiteuse, il vaut mieux prendre aussi peu d'aliments que possible, durant l'usage du lait. La quantité de lait est de six cotyles attiques (*cot.* = 0[litre],27); on commence par deux, et on ajoute une cotyle chaque jour jusqu'à six, puis de là peu à peu jusqu'à la dose du début. Après cette cure par le lait, on la restaure par les aliments et le régime. Le lait étant bu, elle boira le matin à jeun de l'adiante, séchée, broyée et tamisée; cela se prend dans du vin noir, de bonne odeur, coupé d'eau. Si la maladie revient, on administrera une fumigation générale, et de nouveau on purgera par le bas, puis on fera des injections utérines, si la constitution est pituiteuse, avec le grain de Cnide ou la racine de thapsie; si elle est bilieuse, avec le suc de scammonée ou la coloquinte; piler, verser deux cotyles d'eau, faire bouillir jusqu'à réduction de moitié, ajouter miel et huile de narcisse ou de lis; miel, un quart de cotyle, huile la moitié du miel; puis faire une contre-injection avec le miel, le vin et l'huile seuls, donner une fumigation, interrompre trois ou quatre jours; et boire de l'adiante. Si la femme ne

αὖθις om. θ. — [6] ἡ CFGIJQ'θ, Ald., Lind. - ἡ om. vulg. - κνηδίῳ FGI, Ald. - ἀγρίη, ἐμβαλὼν γὰρ ἀπ' αὐτέης καὶ δύο κοτύλας ἐπιχέας ὕδατος ἀφεψεῖν, καὶ τὸ (τῷ Lind.) ἥμισυ τουτέῳ (τουτέου Lind.) συμμίσγειν (ξ. D, Lind.) μέλι vulg. - κόψας ἐπιχέας δύο (δύο ἐπ. θ) κοτύλας ὕδατος ἀφυψεῖν (sic) (ἀφεψεῖν θ) τὸ ἥμισυ τουτέῳ (τούτῳ θ) ξυμμίσγει (ξυνμίσγειν θ) μέλ: Cθ. - Je lis ἐς τὸ ἥμισυ. — [7] ναρκίσινον C. - ἔστω δὲ om. K. - τετάρτημορον (sic) θ. - ἡμιόλ.. καὶ (καὶ om. CDHθ, Ald.) τοῦ (τοῦ om. C) vulg. - τῷ οἴ. καὶ τῷ μέλιτι Cθ. — [8] θυμιῆσαι θ. - τέτταρας vulg. - τέσσερας θ. - τέσσαρας C. - ἐπιπινέτω L. — [9] μὴ θ, Cornar. - μὴ om. vulg. - ἐν τῇ γ. C. - βάλληται GK. - βάληται DIJ. - λάβῃ θ. - ὑποστρέψῃ H. - ὑποστρέφει ἡ νοῦσος καὶ ἀπόλλυνται θ. - ὑποστρέφε', ὑποστρέφουσα ἡ νοῦσος καὶ ἀπόλλυται C.

ὑποστρέφει, καὶ ὑποστρεφομένης τῆς νούσου ἀπόλλυται. [1] Ὁκόσας γεραιτέρας λαμβάνει ἡ νοῦσος αὕτη, κατασήπονται αἱ ὑστέραι, ἐκφεύγουσι δὲ πάνυ ὀλίγαι.

119. Ῥόος ἄλλος· καθαίρεται οἷόν περ ἐξ ὠοῦ ὠμοῦ, [2] χλωρὸν ὑπόλευχον, καὶ ἑλκοῖ τὸ αἰδοῖον, καὶ οἰδίσκεται τούς τε πόδας καὶ τὰς κνήμας, καὶ τὰ κοῖλα τῶν ὀφθαλμῶν ἐπανοιδέει, καὶ [3] οἱ ὀφθαλμοὶ ὑγροὶ γλαμυροὶ, καὶ ἢν βαδίζῃ, ἆσθμά μιν λαμβάνει, καὶ ἀσθενείη γίνεται. [4] Ἡ δὲ νοῦσος φύσει φλεγματιώδης· καὶ ἢν μὴ καθαρθῇ, πυρετήνῃ δὲ χολῆς κινηθείσης, φλαῦρον· γεραιτέρας δὲ ἡ νοῦσος αὕτη λαμβάνει μᾶλλον ἢ νεωτέρας. [5] Ὁκόταν δὲ ὧδε ἔχῃ, ἢν μὲν ἀνοιδήσῃ σφόδρα, διδόναι κάτω φάρμακον πιεῖν ὅ τι φλέγμα καὶ χολὴν [6] ἰνήσεται· ἢν δὲ μὴ ἰσχυρῶς οἰδέῃ καὶ τὸ φλέγμα αὐτὴν πιέζῃ, ἄνω δοῦναι φάρμακον· καὶ ἢν [7] μὲν ᾖ δυνατὴ, ἐλλεβόρῳ καθαιρέσθω· ἢν δὲ μὴ, ὅ τι χολὴν καὶ φλέγμα ἄγει· μετὰ δὲ [8] τὰ φάρμακα ὀῤῥὸν ἑφθὸν διδόναι πίνειν ὡς πλείστας ἡμέρας [9] ξὺν ἁλὶ ὀλίγῳ· ἐπιτρωγέτω δὲ ἡδύοσμον, ἑσπέρην δὲ σίτου μὴ ἁπτέσθω, ῥοφεέτω δὲ ὀλίγον, καὶ ἐπιπινέτω οἶνον γλυκὺν, ἢν χρήζῃ· ἢν δὲ μὴ [10] παρῇ, ὀῤῥόν· γάλα τε ὄνειον ἀφεψῆσαι, καὶ διδόναι τέσσαρας ἡμέρας· ἑσπέρην δὲ ταῦτα ποιέειν, ἢν μὴ πῦρ ἔχῃ νύκτωρ. Ἢν δὲ ᾖ φύσει σπληνώδης, [11] πνευματώδης, λείφαιμος, μήτε ὀῤῥὸν μήτε γάλα διδόναι, ἢν φυσῇ· ἢν δὲ μὴ, κατωτερικοῖσι καθαίρειν. Καὶ ἐπειδάν σοι δοκέῃ καιρὸς εἶναι, κλύσαι τὰς μήτρας, πρῶτον μὲν [12] τῷ ἀπὸ τῆς τρυγὸς δὶς ἢ τρὶς, μετὰ δὲ τοῦτο τῷ ὀπῷ τῆς σκαμμωνίης, οἶνον δὲ ἐπιχέαι γλυκὺν.

[1] Ὁκόσας C (D, al. manu ὁκόταν) FGHIJK, Vatic. Codd. ap. Foes. – ὅσας θ. – ὁκόταν vulg. – ὁκόταν δὲ Lind. – γὰρ ἑτέρας pro γερ. (D, emend. al. manu) FGHIJKLQ', Vatic. Codd. ap. Foes. – καὶ κατασ. vulg. – Je retranche ce καί. – Ante ἐκφ. addit καὶ D. – ἐκφεύγουσαι C. – δ' θ. – πάνυ om. Cθ. — [2] χλωροῦ D. – λευκὸν ὑπόχλωρον C. – καὶ τοὺς πόδας καὶ C. – τε om. θ. — [3] οἱ om. θ. – λαμυροὶ GHIJK. — [4] ἢν δὲ φύγῃ (φεύγῃ C), ἡ νοῦσος φλεγματώδης ᾖ, καὶ (καὶ om. C) ἢν vulg. – ἡ δὲ νοῦσος φύσει φλεγματώδης, καὶ ἢν θ. – πυρετήνει (πυρετήνῃ J; πυρετήνασα C) λαύρως (λ. om. C) χ. (addit δὲ C) κιν. vulg. – πυρετήνῃ δὲ χολῆς κινηθήσης θ. – φλαῦρον Cθ. – φλ. om. vulg. – μᾶλλον om. (D, restit. al. manu) FGHIKθ. — [5] ὅταν θ. – δὲ om. CD HIJ, Ald. – ἀνοιδέῃ θ. – Ante φλέγμα addit φάρμακον D. — [6] ἴῆται vulg. – ἰήσεται Cθ. – Lisez ἰνήσεται. — [7] μὲν ᾖ om. G. – δυνατὸν J. – ἐλεβόρῳ K. – ἐλλέβορον θ. – καθαιρ. om. Cθ. – φλ. κ. χ. J. — [8] τὰ CFHIJKθ, Lind. – τὰ om. vulg. – ὄρον β. — [9] σὺν θ. – ὀλίγῃ FI. – ἐπιτρογέτω Ald. – ἡδίοσμον J. – ἐς ἑσπ. δὲ σ. μὴ ἀπεχέσθω, ῥυφείτω θ. – χρίζῃ θ. — [10] παρρῇ H. – παρήορος

devient pas grosse, il y a récidive, et la récidive l'emporte. Quand cette affection attaque des femmes d'un certain âge, l'utérus se corrompt, et très-peu en réchappent.

119. (*Autre leucorrhée.*) Autre écoulement : le flux est comme d'un œuf cru, jaune, blanchâtre, les parties génitales s'ulcèrent, les pieds et les jambes enflent, le dessous des yeux se tuméfie, les yeux sont humides, chassieux ; si la femme marche, elle s'essoufle, et se sent faible. Cette maladie est de nature pituiteuse ; et, s'il n'y a pas de purgation et que la fièvre survienne, la bile étant mise en mouvement, cela est mauvais. Elle attaque plutôt les femmes d'un certain âge que les jeunes. Les choses étant ainsi, si la malade est très-enflée, donner à boire un purgatif évacuant la pituite et la bile ; si le gonflement n'est pas considérable et que la pituite soit ce qui l'accable, donner un évacuant par le haut. Les forces le permettant, évacuer avec l'ellébore; sinon, avec ce qui emmène la bile et la pituite; après les évacuants, administrer le petit lait cuit, avec un peu de sel, autant de jours qu'il se pourra; elle mangera de la menthe, le soir elle ne touchera pas aux aliments solides, prendra un peu de potage, et, par-dessus, boira du vin doux s'il est nécessaire ; à défaut de vin, du petit lait ; elle fera cuire du lait d'ânesse et en prendra pendant quatre jours. Voilà ce qu'il faut faire le soir, à moins qu'il n'y ait de la fièvre la nuit. Si la femme a par constitution la rate malade, si elle est sujette aux flatuosités, si le sang lui manque, elle ne boira ni petit lait, ni lait, en cas qu'il cause des flatuosités ; et alors on purgera avec des évacuants. Quand le moment vous paraîtra venu, vous ferez des injections utérines d'abord avec la préparation à la lie deux ou trois fois, puis avec le suc de

pro π. ὁ. C. - ὅρος θ. - τε om. Cθ. - ὄνιον θ. - ἐς ἑσπ. δὲ τ. ποιεῖν θ. — [11] ἢ (ἢ om. θ) πν. vulg. - Ante λ. addit ἢ K, Lind. - αιφαιμος (sic) θ. - λίφαιμος CFIJK. - γάλα πινέτω, ἢν δὲ μὴ vulg. - γάλα διδόναι ἢν φυσῇ (θ, φύσει ᾖ), ἢν δὲ μὴ Cθ. - κατ. φαρμάκοισι καθ. θ. - πρῶτα DIJK. - πρώτῳ Ald. — [12] τὸ DFGHIJK. - τοῦτο om. θ. - τοῦ ὀποῦ (τῷ ὀπτῷ θ) vulg. - Lisez ὀπῷ. - δ' Cθ. - ναρκισσίνου C. - εἰ δὲ μὴ, ἀνθίνου θ. - εἰ δ. μ. ἀ. om. vulg. - ὑστερέη C. - οἴνου θ.

ὅσον κοτύλην ἀττικὴν καὶ ἐλαίου τέταρτον μέρος κοτύλης, μάλιστα μὲν ναρκισσίνου, εἰ δὲ μὴ, ἀνθίνου· μετακλύσαι δὲ τῇ ὑστεραίῃ οἴνῳ κοτύλῃ, [1] καὶ μέλιτι τετάρτῳ κοτύλης, καὶ ῥητίνῃ τρίτην μοίρην μέλιτος, ἔλαιον δὲ ἴσον μέλιτι. Ἢν δὲ [2] τὰ ἀπὸ τοῦ κλυσμοῦ ἀποχωρεῦντα ἴῃ φλεγματώδεα, κλύσαι αὖθις ἐπισχόντα ἡμέρας τρεῖς ἢ τέσσαρας, ἐκλέψαντα τοῦ κόκκου δύο πόσιας· μετακλύζειν δὲ τοῖσιν αὐτέοισιν· ἢν δὲ μὴ παρῇ κόκκος, τῇ ῥίζῃ τῆς θαψίης [3] πόσιν μίαν, καὶ μετακλύζειν τοῖσιν αὐτέοισιν· ἐπὴν δὲ καθαρθῇ τὰ ὑποχωρεῦντα πρὸς τούτους τοὺς κλυσμοὺς, καὶ ἢν [4] γίνηταί τι αἱματῶδες, οἷον ἀφ' ἕλκεος, μετακλύζειν τοῖσι στρυφνοῖσιν. Καὶ ἢν μετὰ ταῦτα αὐτὴ ἐρωτηθεῖσα φῇ τὸ στόμα τῶν ὑστερέων σκληρὸν εἶναι καὶ ὀδύνην ἔχειν, κλύζειν τὸν αὐτὸν τρόπον [5] τῷ ξὺν τῷ πικερίῳ, ἔστ' ἂν ἀποξηρανθέωσιν αἱ ὑστέραι καὶ δοκέῃ ὑγιὴς εἶναι· τὰς δὲ μεταξὺ ἡμέρας τῶν κλυσμῶν πινέτω ἀκτῆς καρπὸν καὶ λαγωοῦ πυτίην καὶ μήκωνος τὸ κέλυφος καὶ κνίδης καρπὸν, ῥοιῆς [6] τε γλυκείης τὸν φλοιὸν, τρίβων ἴσον ἑκάστου· ἄλφιτον δὲ [7] ξυμμίσγειν καὶ ἀδίαντον, ἐν οἴνῳ μέλανι εὐώδει νῆστις· σιτίοισι δὲ χρεέσθω μαλθακοῖσι [8] μὴ ἁλμυροῖσι, μηδὲ δριμέσι· κρέα δὲ ἀμείνω ἰχθύων, ἤγουν ὀρνίθια, ἢ λαγῶα, καὶ λουέσθω θερμῷ μὴ πολλῷ. Ἢν δὲ μὴ [9] λωφήσῃ ὁ ῥόος, ἀλλ' ὑπολείπηται, καὶ ὑγράζωνται αἱ ὑστέραι, θυμιῆσαι τῷ ξὺν τῷ σιδίῳ, καὶ ἔπειτα παρὰ τὸν ἄνδρα ἴτω· [10] κἢν ἐν γαστρὶ ἴσχῃ, ὑγιὴς γίνεται. Αἱ δὲ γεραίτεραι οὐ δύνανται ἀναφέρειν, ἀλλ' ἀπόλλυνται ὑπὸ ἀσθενείης.

120. [11] Ῥόος ἄλλος· ῥέει ὑπόχλωρον οἷον ἐξ ᾠοῦ, καὶ γλίσχρον,

[1] Καὶ om. D. - τεταρτοκοτύλῃ J. - τετ. μέρει θ. - κοτ. om. Cθ. - ῥητίνης (ῥητ. FGI, Ald.) vulg. - ῥητίνῃ θ. - καὶ τρ. μοίρην ῥητίνης J. - μοῖραν vulg. - μοίρης F. - μοίραν Dθ, Ald. - μοίρην IK. - ἐλαίου θ. — [2] τὰ om. (F, restit. al manu) J. - ὑπὸ θ. - τοῦ om. D. - ὑποχωρεῦντα C. - ὑποχωρέοντα θ. - κλ. καὶ (καὶ om. Cθ) αὖθις (αὖτις C) vulg. - τρὶς ἢ τέσσερας θ. - τέτταρας (τέσσαρας C), ἔπειτα ἐκλέψαι τ. κ. δ. π., κλύζειν δὲ vulg. - Supprimez ἔπειτα, lisez ἐκλέψαντα, et μετακλύζειν. - τοῖς αὐτοῖς θ. — [3] ποσὶ θ. - μίην J. - μίαν om. θ. - τούτοισιν pro τοῖσιν C. - ὑποχωρέοντα θ. - τουτέους vulg. - τούτους Jθ. — [4] γέν. CDJ. - φῇ ἑωυτῆς pro αὐτὴ ἐρ. φῇ θ. - ἀφῇ αὐτέῃ pro αὐ. ἐρ. φῇ C. - Ante φῇ addunt εἰ DFGHIK. - ὑστεραίων Frob. - Post σκλ. addunt οἱ HIJKL, Ald., Lind. - εἶναι om. Cθ. - εἶναι pro ἔχειν C (θ, ἐνεῖναι). - κλῦσαι θ. - κλύσαι CFHIJK. — [5] τὸ pro τῷ J. - σὺν θ. - ἀποξηρανθῶσιν vulg. - ἀποξηρανθέωσιν θ. - κλυσμάτων θ. - αὐτῆς pro ἀκτῆς J. - πυτίην Iθ. - πητύην K. - πιτύην vulg. — [6] τε om. Cθ. - τρίβον F, Frob. — [7] σ. θ. - χρήσθω θ. — [8] μήθ' θ. - ἢ pro ἤγουν θ. - ἤγουν om. C. - ὀρνίθεια DHIJK. - λούσθω Cθ. — [9] λοφ. C. - ὑπολίπηται FIJK. -

scammonée, on y verse une cotyle attique de vin doux et un quart de cotyle d'huile, surtout d'huile de narcisse, sinon, d'huile de lis. Le lendemain, contre-injection avec une cotyle de vin, un quart de cotyle de miel, un tiers de résine, et autant d'huile que de miel. Si les matières entraînées par l'injection sont pituiteuses, faire, après un intervalle de trois ou quatre jours, une injection avec deux potions de grains de Cnide pour injection, puis la même contre-injection que plus haut; s'il n'y a pas de grain de Cnide, y substituer la racine de thapsie, à la dose d'une potion, puis faire une contre-injection de même composition que plus haut. Quand ces injections ont débarrassé de l'humeur qui s'écoule, s'il vient quelque chose de sanguinolent, comme d'une plaie, faire une contre-injection avec les astringents. Si, après tout cela, la malade interrogée répond que l'orifice de la matrice est dur et douloureux, faire de la même façon l'injection au beurre, jusqu'à ce que l'utérus se dessèche et paraisse être sain. Dans les jours intermédiaires des injections, la femme boira graine de sureau, présure de lièvre, écorce de pavot, graine d'ortie, écorce de grenadier doux, de chaque partie égale, le tout pilé; mêler de la farine d'orge et de l'adiante, et prendre à jeun dans du vin noir de bonne odeur. Elle usera d'aliments doux, non salés, non âcres; la viande vaut mieux que le poisson, volaille, lièvre. Se laver à l'eau chaude non en grande quantité. Si l'écoulement, ne se relâchant pas, persiste et que la matrice devienne humide, faire la fumigation avec le parfum à l'écorce sèche de grenade, puis la femme ira auprès de son mari; et, si elle devient grosse, elle guérit. Les femmes d'un âge avancé ne peuvent supporter l'écoulement; elles succombent par faiblesse.

120. (*Écoulement et métrite, suite de quelque accident dans*

ὑπολείβηται θ. - ὑγράζονται FGHIK, Ald., Frob. - θυμιασαι (sic) θ. - σὺν θ. - κέκαυται DQ', Lind. — [10] καὶ ἣν θ. - ἣν δὲ ἐν τῇ γ. C. - ἔξει FHIJ. - ἔξῃ GK. - ἀπόλυνται J. - ὑπ' θ. - ἀσθενίης C. — [11] ῥοῦς vulg. - ῥὸς (sic) C. - ῥόος θ. - λευκὸς pro ἄλλος CDFGHIKθ, Ald. - ὑπόχλωρος.... γλίσχρος θ. - νειέρῃ FGHIK, Ald., Frob. - νειαιρῇ Lind. - νιερὰ θ. - ψαύσῃ Dθ. - ἐπίσιον CDFGHIJK, Ald.

καὶ ἡ γαστὴρ ἀνίσταται ἡ νειαίρη, καὶ σκληρὴ γίνεται, καὶ ἢν ψαύσῃς, ἀλγέει, καὶ βρύχει, καὶ πῦρ ἔχει, καὶ ὀδύνη ἐς τὸ ἐπίσειον, καὶ [1] ἐς τὰ αἰδοῖα, καὶ ἐς τὴν νειαίρην γαστέρα, καὶ ἐς τὰς ἰξύας, καὶ λιποθυμίη, ἀλυσμοί τε καὶ περιψύξιες [2] καὶ ἱδρὼς πουλὺς, σφυγμοὶ πρὸς χεῖρα ψαίροντες, βληχροὶ, ἐκλείποντες, καὶ αὐτίκα ὄλλυνται. [3] Ἢν δὲ περιῇ, καὶ ἡ χροιή οἱ τρέπεται, καὶ γίνεται οἷόν περ κηρίον, καὶ ὁ χρὼς τῷ δακτύλῳ πιεζεύμενος μαλθάσσεται, καὶ ἐμπλάσσεται οἷόν περ ἐν σταιτὶ, καὶ οἰδέουσιν οἱ πόδες καὶ τὰ σκέλεα. Ἡ δὲ νοῦσος γίνεται μάλιστα, ἢν ἐν [4] αὐτῇσί τι διακναισθῇ ἢ ἐνσαπῇ ἐν τῷ τόκῳ· αἱ δ' ἀφηλικέστεραι μᾶλλον πάσχουσιν, οὐ πάνυ δὲ ἡ τοιαύτη νοῦσός ἐστιν εὐήθης.

121. Ἄλλος ῥόος· καθαίρεται οἷον ἀπὸ κρεῶν ὀπτῶν χυμὸς, καὶ ἑλκοῦται τὸ αἰδοῖον καὶ ὅπη ἂν ἄλλη τοῦ χρωτὸς ἐπιστάξῃ, καὶ ῥῖγος καὶ πῦρ ὀξὺ [5] πυκινὸν, μέγα, καὶ φρίκη ὁμοῦ λάζεται· ὀδύναι δὲ [6] αἱ ἐν πᾶσι τοῖσι ῥόοισιν· αὕτη πᾶσα ἀνοιδίσκεται καὶ [7] τὸ κάτω τοῦ ὀμφαλοῦ, καὶ τὰ σκέλεα, καὶ ἡ χροιὴ ἰκτεριώδης γίνεται. [8] Ὁ δὲ τοιοῦτος ῥόος γίνεται ἀπὸ τοῦδε, ἐπειδὰν τὸ αἷμα ἐξεραθὲν ὑπόχολον γένηται καὶ μὴ καθαρθῇ. Ὁκόταν ὧδε ἔχῃ, φάρμακον δεῖ πίνειν, ἢν μὲν ἰσχυρὴ ᾖ, ἐξ ἐλλεβόρου, ἢν δὲ ἀσθενὴς, ῥίζαν τε καὶ ἐλατήριον, καὶ ὑστέρῳ χρόνῳ γάλα αἰγὸς, ἢ κάτω [9] φαρμακεύειν ὅ τι χολὴν καὶ φλέγμα καθαίρει· κλύσαι δὲ τὰς ὑστέρας τῷ ξὺν τῷ κραμβίῳ· πίνειν δὲ ἐλελίσφακον, ὑπερικὸν, [10] λίνου σπέρμα, ἴσον ἑκάστου ἐν οἴνῳ μέλανι αὐστηρῷ, νήστει δὲ διδόναι πίνειν. Ἢν δὲ ἡλκωμένον ᾖ τὸ αἰδοῖον, μετακλύσαι τῷ πικερίῳ, ἔπειτα φάρμακον

[1] Ἐς om. θ. – νειέρτην FGHIK, Ald., Frob. – νιερὰν θ. – νειαιρτὴν Lind. – λειπ. CDHJK. – ἀλυσμὸς CDHIJK. – In marg. σύμπτωμα στομάχου τρομῶδες H. – τε om. C. – τε καὶ om. θ. — [2] καὶ om. θ. – πολὺς θ. – σφυγμὸς H. – φέροντες G (H, emend. al. manu) IJ. – ἐκλίποντες (sic) Gθ, Ald., Frob. – ὄλυνται CHI. – ἀπόλλυνται θ. — [3] εἰ J. – δὲ om. K. – περιίῃ θ. – οἱ om. J. – γένηται vulg. – γίνεται θ. – περ om. J. – πιεζόμενος Cθ. – μαλθάσεται C. – καὶ ἐμπλ. om. C. – οἰδεῦσιν θ. — [4] αὐτῇ CFGIJKθ. – διακνησθῇ L. – τῷ om. Cθ. – δὲ C. – δ' ἡ sine τοιαύτη θ. – ἐστιν om. Cθ. — [5] πυκνὸν θ. – καὶ λάζ. φρ. ὁμοῦ J. — [6] αἱ θ. – αἱ om. vulg. – ῥόοισιν οἷαι (οἷαι om. Cθ; ὅμοιαι Foes in not., Lind.) · αὕτη (αὐτὴ C) vulg. — [7] τὰ θ. – ἰκτερώδης θ. — [8] γίνεται δὲ ὁ ῥόος (ὀρθὸς καὶ pro ὁ ῥ. θ) ἀπὸ τοῦδε Cθ. – ἐξαραθὲν vulg. – ἐκταραχθὲν Lind. – ἐξήρθεν L. – ἐξαραχθὲν Foes in not. – ἐξεραθὲν DFGIJKθ. – ὑπόχωλον K. – γίνηται DIJK. – πίνειν δεῖ φάρ. D. – δεῖ om. θ. – ἐλλεβορίζειν pro ἐξ

l'accouchement.) Autre écoulement : le flux est de couleur blafarde comme l'humeur d'un œuf, et visqueux ; le bas-ventre se gonfle et devient dur ; il est sensible à la pression. La femme a des grincements de dents ; fièvre, douleur au pubis, aux parties génitales, au bas-ventre et aux lombes ; défaillance ; jactitation ; refroidissement, sueur profuse ; pulsations qui frappent faiblement la main, débiles, intermittentes, et bientôt mort. Si la malade résiste, la coloration s'altère et devient couleur de rayon de miel ; la peau s'affaisse sous la pression du doigt et en garde l'empreinte comme de la pâte ; les pieds et les jambes enflent. Cette maladie survient surtout quand quelque chose se déchire ou se pourrit dans l'accouchement. Les femmes d'un certain âge y sont plus exposées. Cette maladie est loin d'être bénigne.

121. (*Écoulement et métrite, suite de la rétention des règles ou des lochies.*) Autre écoulement : le flux est comme le jus de viandes rôties ; il ulcère les parties génitales et tous les points de la peau avec lesquels il vient en contact ; frisson, fièvre aiguë, pressante, forte ; le frisson se mêle à la chaleur ; douleurs, les mêmes que dans tous les écoulements. La malade enfle tout entière, ainsi que le dessous de l'ombilic et les jambes. La coloration devient ictérique. Ce qui produit cet écoulement, c'est l'absence de purgation, le sang évacué étant devenu sub-bilieux. Les choses étant ainsi, il faut administrer un évacuant, si la femme est forte, avec l'ellébore, si elle est faible, avec la racine (*sorte de plante légèrement purgative* ; voy. Gal. Gl.) et l'élatérion, puis faire prendre du lait de chèvre ; ou bien prescrire un purgatif cholagogue et phlegmagogue ; injecter dans la matrice l'injection à l'eau de chou ; boire sauge, hypéricon, graine de lin, de chaque partie égale, dans du vin noir astringent ; cela se prend à jeun. Si les parties génitales sont ulcé-

ἀλλ. C. – ἐλλέβορον sine ἐξ C. — [9] φ. om. Cθ. – χολήν τε καὶ θ. – ὑστερέας C. – σὺν θ. — [10] σελίνου Cornar., Lind. – ἴσον θ. – ἴσον om. vulg. – διδ. νήστει πίνειν sine δὲ C. – διδόναι νήστι sine δὲ et sine πίνειν θ. – εἰλκωμένον θ. – ἡλκωμένον GHK, Ald. – ἑλκώμενον I. – πεῖσαι θ.

πῖσαι, καὶ ἐπιχρίειν τὰ ἕλκεα [1] πικέριον, ῥητίνην, σμύρνην, ἀργύρου ἄνθος· διανιζέσθω δὲ ὕδατι ἀπὸ μυρσίνης καὶ ἐλελισφάκου χλιερῷ· σιτίοισι δὲ χρήσθω [2] μήθ' ἁλμυροῖσι μήτε δριμέσιν, ὡς μὴ δακνῶδες τὸ οὖρον γένηται, καὶ τῶν θαλασσίων εἴργεσθαι, [3] καὶ κρεῶν βοείων, καὶ οἰέων, καὶ χοιρείων· [4] τοῖσι δὲ ἄλλοισι κρέασι χρέεσθαι ἐφθοῖσι, καὶ σιτείσθω ἄρτον, καὶ οἶνον εὐώδεα παλαιὸν πινέτω μέλανα. Ἢν δὲ ταῦτα [5] ποιέῃ καὶ μὴ ὑγιὴς γίνηται, πυριῆσαι ὅλην [6] καὶ φάρμακον δοῦναι τῇ ὑστεραίῃ ἄνω, ἔπειτα διαλιπὼν αὖθις κάτω· [7] καὶ ἢν μὲν ᾖ ὀῤῥὸς, μετὰ τὰ φάρμακα ἀφεψήσας δοῦναι πιεῖν ἑκάστης ἡμέρης, [8] ἑσπέρην δὲ ῥοφήμασιν· οἴνῳ δὲ γλυκεῖ λευκῷ· ἢν δὲ μὴ ᾖ ὀῤῥὸς, γάλα ὄνου ἐφθὸν πινέτω ἐπὶ τέσσαρας ἡμέρας, [9] ἑσπέρην δὲ τοῖσιν αὐτέοισι χρήσθω· μετέπειτα [10] δὲ πινέτω ἐπὶ τεσσαράκοντα ἡμέρας γάλα βοὸς θερμὸν, καὶ τῆς ἡμέρης μηδὲν ἐσθιέτω ὡς ἔπος εἰπεῖν, ἄριστον γὰρ τοῦτο, [11] καὶ γὰρ καθαίρεται καὶ τρέφεται καὶ ἀμβλύνεται ὑπὸ τοῦ τοιοῦδε γάλακτος· [12] ἑσπέρην δὲ δειπνείτω κρέας ὄρνιθος ὀπτὸν ὀλίγον, καὶ ἄρτον σμικρὸν ἐγκρυφίην· ἐπιπίνειν δὲ οἶνον μέλανα παλαιὸν οἰνώδεα, ἔστ' ἂν τὸ γάλα πίνῃ, [13] ἢν πολλὰ ἴῃ καὶ ταράσσηται τὸ δριμύ. Καὶ ἢν ταῦτα ποιήσασα ἐν γαστρὶ ἴσχῃ, ὑγιὴς γίνεται. Ὅσαι δὲ γεραίτεραί εἰσιν, [14] ἐνίοτε ὑποστρέφει ἡ νοῦσος, καὶ ἀπόλλυνται· τῇσι δὲ νέῃσιν οὐ θανατώδης· χρονίη δέ.

122. Ῥόου ἰχωροειδέος θεραπείη· ῥέει ὕφαιμον, οἷόν περ ἀπὸ κρεῶν ὀπτῶν [15] χυμὸς, καὶ δάκνει ὡς ἅλμη, καὶ ἐσθίει καὶ ἐξελκοῖ τὰ αἰδοῖα, καὶ ἡ ὑστέρη ἀνελκοῦται, [16] καὶ τὰ πέριξ καὶ τοὺς μηροὺς καὶ τὰ ἄλλα· ἐπειδὰν ἐπιστάξῃ ἐπὶ τὰ ἱμάτια, βάπτεται, [17] καὶ δύσπλυτα ἐμμένει· καὶ ἡ γαστὴρ ἐπαείρεται καὶ σκληρὴ γίνεται,

[1] Πεκέριον J. – ἐπικέριον C. – ῥιτ. I. – σμύρναν θ. – σμ. om. L. – διανιζέσθαι (sic) J. – χλιηρῶς vulg. – χλιερῷ θ. – χλιαρῶς DJK. – χλιαρῷ CHI. — [2] μήτ' C. – μήτε θ. – δάκνῃ sine γένηται Cθ. — [3] Ante καὶ addit ὡς θ. – βοΐων καὶ ὑείων καὶ χοιρίων θ. — [4] τοῖς vulg. – τοῖσι CDIKθ. – δ' θ. – χρῆσθαι θ. – ἄρτον σιτίσθω θ. – οἰνώδεα pro εὐ. θ. — [5] ποιέει θ. – γένηται L. — [6] καὶ om. C. – διαλιπεῖν αὖτις καὶ κάτω θ. — [7] καὶ ἢν μὲν μείνῃ ὁ ῥόος vulg. – καὶ ἢν μὲν ᾖ ορος (sic) θ – τὸ φάρμακον Cθ. – ἀφεψ. ὀῤῥὸν νέμειν ἑκάστης ἡμέρης πίνειν vulg. – ἀφεψ. δοῦναι πιεῖν ἑκάστης ἡμέρης θ. – ἀφεψ. δοῦναι πιεῖν ὀρὸν ἑκάστης ἡμέρης C. — [8] ἐς ἑσπ. θ. — [9] ἐς ἑσπ. θ. – τοῖς θ. – χρῆσθαι K. — [10] δὲ om. FGJ, Ald. – τεσσαράκονθ' C. — [11] οὐ pro καὶ C. – γὰρ om. J. – καὶ τρ. om. θ. – ἀμβύνεται (sic) C. – ὑπὸ τ. τ. γ. om. C. – τοιούτου J. — [12] ἐς ἑσπ. Cθ. – δειπνίτω θ. – δειπνήτω J. – δειπνεέτω Lind. – μικρὸν vulg. – σμ. θ. – ἐγ-

rées, faire une contre-injection avec le beurre, puis administrer un évacuant, et oindre les ulcérations avec beurre, résine, myrrhe, fleur d'argent. La femme se lavera avec l'eau tiède de myrte et de sauge. Ses aliments ne seront ni salés ni âcres, afin que l'urine ne devienne pas irritante. On lui interdira les poissons de mer, les viandes de bœuf, de mouton et de porc. Elle usera des autres viandes bouillies ; elle mangera du pain, et boira du vin vieux noir de bonne odeur. Si elle fait cela sans guérir, on administrera une fumigation générale, et on donnera le lendemain un évacuant par le haut, puis, après une intermission, un évacuant par le bas. S'il y a du petit lait, après les évacuants, en faire cuire et en donner à boire chaque jour ; pour le soir, des potages, du vin doux blanc ; s'il n'y a pas de petit lait, elle boira du lait d'ânesse cuit pendant quatre jours, et pour le soir ce sera comme plus haut. Puis elle boira pendant quarante jours du lait de vache chaud, et pendant le jour elle ne prendra pour ainsi dire rien autre ; c'est ce qu'il y a de mieux ; car, à la fois, ce lait purge, nourrit et amortit. Le soir, elle mangera un peu de volaille rôtie, un peu de pain cuit sous la cendre ; par-dessus elle boira du vin noir vieux et fort, tant qu'elle sera à l'usage du lait, si l'écoulement est abondant et si l'humeur âcre est mise en mouvement. Si, ayant employé ces moyens, elle devient grosse, elle guérit. Chez celles qui sont d'un certain âge, la maladie est sujette à récidiver, et elle les emporte ; chez les jeunes elle n'est pas mortelle, mais est de longue durée.

122. (*Ceci est la répétition du* § 120 ; *mais ici le traitement, qui manque dans le* § 120, *est exposé.*) Traitement de l'écoulement ichoreux : le flux est sanguinolent, comme du jus de viandes rôties, il est irritant comme de la saumure, il corrode et ulcère les parties génitales, la matrice s'ulcère, ainsi que

κρυφίαν J. — [13] ἦν [δὲ] Lind. - εἴη θ. - ποιήσας θ. - ἔχη θ. — [14] ὑπ. ἐνίοτε J. - χρονίη δὲ τοῦ ἰχωροειδέος ῥόου ἡ θεραπείη, τὸ δὲ τοιοῦτον ῥέει ὕφαιμον vulg. - χρονίη δέ. ῥόου (ῥοους sic θ) ἰχωροειδέος θεραπείη ῥέει (ῥεῖ θ) ὕφαιμον Cθ. — [15] χ. om. θ. - ἐξελκέει C. — [16] κατὰ (καὶ pro κατὰ θ) τὰ (τὰ om. C) πέριξ vulg. - ἐπιστάζη θ. - βλάπτεται θ. — [17] καὶ.... ψαύση om. G. - ἐπαείρεται θ. - ἐπαίρεται vulg. - ψαύσης θ. - θέρμην D (H, al. manu) K. - ἴσχει D.

καὶ ἀλγέει ἢν ψαύσῃ, καὶ θέρμη ἔχει, [1] καὶ ἐς τὰ αἰδοῖα καὶ [2] ἐς τὴν ἕδρην [3] ὀδύνη καὶ ἐς τὴν νειαίρην γαστέρα καὶ κενεῶνας καὶ ἰσχία καὶ ἰξύας, ἀδυναμίη ψυχρὴ, καὶ ἡ χροιὴ τρέπεται ὡς ἰκτερώδης. Ἢν δὲ ὁ χρόνος μηκύνῃ καὶ ἡ νοῦσος, ταῦτα πάντα πολὺ μᾶλλον ἐπιλαμβάνει, καὶ τὰ [4] κῦλα ἐπανίσταται, καὶ οἱ πόδες οἰδέουσι καὶ τὰ σκέλεα ἀπὸ τῶν ἰξύων. Ἡ δὲ νοῦσος λάζεται, ἐπὴν διακναισθῇ τι τοῦ ἐμβρύου ἐν τόκῳ ἢ τρωσμῷ. Χρὴ δὲ πυριῆν καὶ θυμιῆν καὶ πιπίσκειν· ταῦτα [5] πάντα ἀεὶ ἴσχει τὸν ῥόον· καὶ ὄνειον γάλα καὶ τὰ ἄλλα προσάγειν, καὶ ἐμέειν, [6] ἢν δέῃ· ἢν δὲ ἄπυρος μὴ ᾖ καὶ βληχρῶς ἔχῃ, ἄμεινον ξηρὴ πυρίη.

123. Ὁκόταν [7] ἐς τὴν κεφαλὴν τραπῶσιν αἱ ὑστέραι καὶ τῇδε λήγῃ ὁ πνιγμὸς, κεφαλὴν βαρύνει, ἄλλῃσι δὲ ἄλλῃ πη τέκμαρ ἴσχεται. Σημήϊον δὲ [8] τόδε· [9] τὰς φλέβας τὰς ἐν τῇ ῥινὶ καὶ τὰ ὑπὸ τοῖσιν ὀφθαλμοῖσιν ἀλγέειν φασὶ, [10] καὶ κῶμα ἴσχει, καὶ ἀφρίζει ὅταν ῥαΐσῃ. Ταύτην χρὴ λούειν πολλῷ θερμῷ· ἢν δὲ μὴ ἐνακούῃ, ψυχρῷ, καὶ κατὰ κεφαλῆς, δάφνην τε [11] καὶ μυρσίνην ἐνεψῶν ἐν τῷ ὕδατι καὶ ψύχων· καὶ ῥοδίνῳ μύρῳ τὴν κεφαλὴν χριέσθω· καὶ ὑποθυμιήσθω τὰ εὐώδεα, τὰ δὲ κακώδεα ὑπὸ τὰς ῥῖνας· καὶ τὴν κράμβην ἐσθιέτω, καὶ τὸν χυλὸν ῥοφεέτω.

124. Ἢν δὲ πρὸς τὴν [12] καρδίην προσιστάμεναι πνίγωσιν αἱ ὑστέ-

[1] Καὶ θ. - καὶ om. vulg. - εἰς vulg. - ἐς Cθ, Lind. — [2] εἰς J. - ἐς τὴν om. C. - Ante ἐς addunt ὀδύνη Vatic. Codd. ap. Foes. — [3] ὀδύνη θ. - ὀδ. om. vulg. - νειέρην FGHIK, Ald., Frob. - νειαιρὴν Lind. - νιεράν θ. - [ἔστι δὲ καὶ] ἀδ. Lind. - ἀδυνασίη θ. - ψυχρὴ Cθ - ψ. om. vulg. - Post χρ. addunt οἱ Cθ. - ἰκτεριώδης C. - πουλὺ CD, Lind. — [4] κοῖλα vulg. - κύλα θ. - λάζυται θ. - διακναισθῇ τι (διακνεσθέντι θ) τοῦ ἐμβρ. ἢ ἐκτρώσῃ (ἐκτρώσει K) ἐν τόκῳ (ἐν τόκω ἢ ἐκτρωσμῷ C, θ τρωσμῷ) vulg. — [5] [γὰρ] πάντα Lind. - πάντα καὶ (καὶ om. L, Lind.; ἀεὶ pro καὶ θ) ἴσχει (ἔχει θ) vulg. - ὄνιον θ. - καὶ τὰ ἄλλα om. (D, al. manu καὶ τἄλλα) FGHIJK. - τἄλλα θ. - ἢν δέῃ pro προσάγειν Cθ. — [6] ἢν δέῃ GHK, Lind. - ἢν δέῃ om. vulg. - ἄπειρος CK. - μὴ θ. - μὴ om. vulg. - βληχρὸς vulg. - βληχρῶς DFGHIJKQ'θ, Lind. - ἔχει C. - ξ. πυρ. om. L. — [7] ὡς ἐς θ. - ἐὰν ἀναβῇ ἐς κεφαλὴν ἡ μήτρα pro ὁκόταν.... ὑστέραι L. - λήγει vulg. - λήγῃ CDKθ. - πῇ, Ald., Lind. — [8] τοῦτο C. — [9] τὰς θ. - τοῖς θ. - ἀγέειν (sic), al. manu ἀλ D. - φησὶ θ. — [10] καὶ om. C. - Gal. Gl. : ἀφράζει, ἀφραίνει, ἀσυνετεῖ. - On est tenté d'adopter cette glose, attendu qu'à la suite du coma le délire n'est pas rare. Mais tous nos mss. sont unanimes pour ἀφρίζει; et il se peut que l'auteur ait signalé l'écume dans cette espèce d'hystérie. - ταύτῃσι χρὴ λέγειν θερμῷ πολλῷ C. - καὶ (καὶ om. θ) θερμῷ vulg. - δάφνη H. — [11] καὶ om. K. - μυρίνην C. - ἐν

les parties environnantes, les cuisses et le reste. Quand il tombe sur les vêtements, il y fait des taches que le lavage n'enlève que difficilement. Le ventre se gonfle et se durcit, il est sensible à la pression; il est chaud; douleur aux parties génitales, au siége, au bas-ventre, aux flancs, aux hanches et aux lombes; faiblesse avec refroidissement; coloration ictérique. Si le mal se prolonge, tous les accidents s'aggravent beaucoup, le dessous des yeux se gonfle; les pieds et les membres inférieurs à partir des lombes sont enflés. Cette maladie attaque surtout quand quelque partie de l'enfant a été déchirée dans l'accouchement ou dans l'avortement. Il faut administrer des fomentations, des fumigations et des purgations; tous ces moyens ont pour effet constant d'arrêter l'écoulement. On prescrit le lait d'ânesse et le reste; et, s'il est nécessaire, on fait vomir. Le cas n'étant pas apyrétique, sans qu'il y ait acuité, un bain de vapeur sèche vaut mieux.

123. (*Hystérie, rattachée à la théorie des déplacements de l'utérus, et attribuée à la matrice se portant à la tête. Comp. le* § 7.) Quand la matrice se porte à la tête et que là se fixe la suffocation, la tête est pesante; et il se peut aussi que des indices se manifestent les uns d'un côté, les autres d'un autre. Voici le signe : la malade dit que les veines dans les narines et le dessous des yeux sont douloureux; somnolence; écume à la bouche, quand il y a du mieux. En ce cas, il faut laver avec beaucoup d'eau chaude; si cela ne réussit pas, affusions froides sur la tête avec de l'eau où du laurier et du myrte ont bouilli et qu'on a laissé refroidir; onctions sur la tête avec l'huile de rose; fumigations aromatiques par en bas, fétides sous les narines; manger du chou, boire de l'eau de chou.

124. (*Autre hystérie, attribuée à ce que la matrice se fixe*

om. C. – χρεέσθω vulg. – χριέσθω CDGIKLθ, Lind. – ὑποθυμιάσθω θ. – χυμὸν C. – καταρυφείτω θ. — [12] καρδίαν vulg. – καρδίην CDHθ. – αἱ.... πνίγωσιν, p. 268, l. 13, om. (D, restit. al. manu) FGHIJKL. – ἀνάσυρτος Codd. Regg. ap. Foes. – ἀνάσιτος DQ'. – Erot. p. 98 : ἀνάσσυτος, ἀνόρμητος. – ἢ θ. – ἐὴρ vulg. – ἠὴρ Cθ. – ἀλησθύη J. – ἀλησθίει θ.

ραι, καὶ ἀνάσσυτος ἴῃ ὁ ἠὴρ βιώμενος, ἀλησθύει καὶ [1] εἰλέει, καὶ ἔστιν ᾗσιν αὐτίκα ἐλυσθεῖσα κάτω χωρέει καὶ φῦσα ἔξεισιν, ἢ καὶ ἐμέει ἀφρώδεα, ἡ δὲ παῦλα ἥδε γίνεται. Ἧσι δὲ οὐκ ἀφίστανται, [2] πράσου τὸν καρπὸν καὶ μήκωνα τρίψας, διεὶς ὕδατος κυάθῳ δίδου πίνειν· καὶ [3] ὄξους λευκοῦ ἀρήγει πόσις κύαθος· ἢ ἀρκεύθου καρπὸν καὶ ἐλελίσφακον, ὄξος [4] σὺν τοίσδεσιν ἢ οἶνον· ἀλεκίνεσθαι δὲ χρὴ, [5] ἢ ἄλειφα χηνὸς, κηρωτὴν ἐῤῥητινωμένην, καὶ πίσσαν ἐν αὐτέῳ τῆξαι, καὶ προσθετὰ ποιέειν.

125. Ὅταν δὲ ὡς πρὸς τὰ ὑποχόνδρια προσπέσωσι, [6] πνίγουσιν· ἐπὴν ἐνθάδε τὸ τέρθρον ᾖ τοῦ πάθεος, καὶ ἐπιλαμβάνει ἔμετος πυρώδης δριμὺς, καὶ ῥᾴων γίνεται ὀλίγον χρόνον, καὶ ἐς τὴν κεφαλὴν καὶ ἐς τὸν τράχηλον ὀδύνη διαμπερής. Χλιάσματα προστιθέναι, ἢν ἄνω [7] πνίγωσιν· ὑπὸ δὲ τὰς ῥῖνας θυμιῆν τὰ κάκοδμα ἐκ προσαγωγῆς, ἢν γὰρ [8] ἀθρόα ᾖ, μεθίστανται αἱ ὑστέραι ἐς τὰ κάτω καὶ ὄχλος γίνεται· εὔοδμα δὲ κάτω· καὶ πιεῖν διδόναι τὸ καστόριον καὶ τὴν κόνυζαν· ἐπὴν δὲ κάτω ἑλκυσθῶσιν, [9] ὑποθυμιῆν τὰ εἰδεχθέα, ὑπὸ δὲ τὰς ῥῖνας τὰ εὐώδεα. Ἢν δὲ αἱ ὀδύναι παύσωνται, φάρμακον πῖσαι κάτω, καὶ μεταπιπίσκειν γάλα ὄνου ἢ ὀῤῥὸν, ἢν μὴ σπληνώδης [10] ᾖ ἀπὸ γενέσιος ἢ λείφαιμος ἢ ἄχροος, ἢ τὰ οὔατα ἠχώδεα ἔχῃ διὰ ξυγ-

[1] Ἐμέει (εἰλέει θ), καὶ ἔστιν ᾗσιν αὐτίκα ἑλκυσθεῖσα (ἐλυσθεῖσα θ) κ. χ. κ. φ. ἔξεισιν· ἡ (ἢ Cθ) μὲν (μὲν om. C; καὶ pro μὲν θ) ἐμέει ἀφρώδεα, ἡ (ἢ CHθ) δὲ παῦλα (addit ἡ δὲ θ) γίνεται (γίνεται παύλα sic D) vulg. — [2] πράσσου CD. – ὕδ. κυάθοις τρισὶ (κυάθῳ θ) δίδου πίνειν (π. om. θ) vulg. — [3] ὄξος C. – ὄξος λευκὸν θ. — [4] σὺν (ξὺν Lind.) τοῖς εἴδεσιν (τοισδεσσιν sic θ) ἢ vulg. — [5] ἢ om. C. – ἄλιφα θ. – κηρωτῇ θ. – ῥερητινωμένην CHθ. – ῥερητινομένην Ald. – τῆξαι ἐν αὐτέω D. – αὐτῷ θ. — [6] πνίγωσιν θ. – τὸ στερεὸν (τέρθρον θ, Lind.) ᾖ vulg. – Erot. p. 366 : τὸ τέρθρον τοῦ πάθους, ἀντὶ τοῦ τὸ τέλος· τέρθρον γὰρ ἔλεγον οἱ παλαιοὶ τὸ ἔσχατον καὶ ἐπὶ τέλει· ὡς καὶ Εὐριπίδης ἐν Εὐρυσθεῖ ποιεῖ τὸν Ἡρακλέα λέγοντα οὕτως· πέμψεις δ' εἰς ᾅδου ζῶντα καὶ οὐ τεθνηκότα, καί μοι τὸ τέρθρον δῆλον εἰσπορεύομαι. Καὶ Ἀπολλόδωρος ὁ τοὺς ὕμνους γράψας φησί· Τίς τοίῃδε ὥρῃ ἦλθεν ἐπὶ τέρθρον θυράων, ἀντὶ τοῦ ἐπὶ τέλει τῶν θυρῶν. Καὶ οἱ περὶ ναῦν ἐμπει[illegible] τερθρία κάλους ὀνομάζουσι τοὺς ἐπὶ τέλει τοῦ ἱστοῦ. – Gal. Gl. : τέρθρον, κυρίως μὲν οὕτως ὀνομάζεται τὸ ἄκρον τῆς κεραίας, καὶ τέρθριοι οἱ κάλοι ἐντεῦθεν, ἐπὶ τὰ ἄκρα τοῦ ἱστίου παρήκοντες. Ὁ δ' Ἱπποκράτης ἐν τῷ δευτέρῳ τῶν γυναικείων· Ἐπὴν ἐνθάδε, φησὶ, τὸ τέρθρον ᾖ τοῦ πάθεος, ἐν ἴσῳ τῷ τὸ ἄκρον καὶ ἀνώτατον καὶ ἐπιμελείας μάλιστα δεόμενον. – ῥᾷον vulg. – ῥαῖον D, Ald., Frob. – ῥάων θ, Lind. – [χρὴ δὲ] χλιάσματα Lind. — [7] πνιγῶσιν θ. – δὴ DHIK. – δὲ om. J. – θυμιᾶν θ. — [8] ἀθρόως (ἀθρόαι DFGHIK; ἀθρῶαι C; ἀθρόα

au cœur.) Si la matrice, se fixant au cœur, cause de la suffocation et que l'air se portant en haut aille par violence, la femme a de l'anxiété et des tournoiements; parfois, aussitôt, le vent, tourbillonnant, va vers le bas et sort, ou il y a même des vomissements bilieux, et ainsi se termine la crise. Mais quand la matrice ne se détache pas du cœur, piler de la graine de poireau et du pavot, mouiller avec un cyathe d'eau et donner à boire. Un cyathe de vinaigre blanc en boisson est utile aussi. Ou bien graine d'arkeuthos (*juniperus phœnicea*), sauge, vinaigre ou vin. Il faut échauffer. Ou bien graisse d'oie, cérat à la poix, poix, faire fondre, et faire des pessaires.

αὖθις ἀπωθέειν τὸν αὐτὸν τρόπον, ἄχρις οὗ τεσσάρων δακτύλων[1] ἔσω τοῦ στόματος τῶν ὑστερέων γένηται· ὅταν δὲ τοῦτο προσδέξηται, τὸ μετὰ τοῦτο προστιθέναι, ὁμοῦ τὸ προσκείμενον ἀφαιρέουσα. [2] ὅκως, πρὶν ξυμπεσεῖν τὸ στόμα, προσκείσεται θάτερον δαίδιον ἔτι ὀρθοῦ ἐόντος καὶ ἀνεῳγμένου· οὕτω [3] δὲ τοῦτο ἔσται, ἢν τὸ μὲν ἐξαιρέηται, τὸ δὲ προστίθηται. Χρὴ δὲ καὶ μόλυβδον ἴκελον ἐξελάσαντα [4] ποιῆσαι τὸ εἶδος τῷ δαιδίῳ τῷ παχυτάτῳ, κοῖλον δὲ ὅκως ξυνέξει· τοῦ δὲ [5] μολύβδου εἶναι τὸ εὖρος ἐληλασμένον οἷον ἐπὶ τὰ ἕλκεα [6] ἐξελαύνεται· ὅκως δὲ τὸ στόμα τοῦ μοτοῦ λεῖον ἔσται καὶ μὴ τρώσει, ποιέειν ταῦτα ὡς καὶ τῶν δαιδίων· ὁκόταν δὲ ποιηθῇ ὁ μοτὸς ὁ μολύβδινος, στέατος αὐτὸν ἐμπλῆσαι οἰὸς τετριμμένου· [7] ὁκόταν δὲ παρεσκευασμένος ᾖ, τὸ μὲν δαίδιον ὑφελεῖν, τὸ δὲ μολύβδιον ἐνθεῖναι. [8] Ἢν δὲ τὸ μολύβδιον καῦμα παρέχῃ προστεθὲν, τὸ [9] μὲν μολύβδιον ἀφαιρέειν, τὴν δὲ δαΐδα ὀπίσω προστιθέναι, [10] καὶ τὸ μολύβδιον ἀποβάψαι ἐς ὕδωρ ψυχρόν· ἔπειτα ὀπίσω προσθεῖναι, τὴν δὲ δαΐδα ἀφελεῖν· προσκεῖσθαι δὲ χρὴ αἰεί τι· [11] τὴν ἡμέρην ἄμεινον τὴν δαΐδα ἔχειν, νύκτωρ δὲ τὸ μολύβδιον. Ἢν [12] δ' ἀναστῆναι θέλῃ, φυλασσομένη τοῦτο δράτω, ὅκως ὁ μοτὸς ἀτρεμέῃ· [13] ἢν δὲ μὴ, αὐτίκα κατόπιν προστιθέναι. Ἢν δὲ τῶν δαιδίων, ἃ δὴ προσέκειτο, μηδὲν προσδέχηται, λεπτότερον ποιέειν, [14] μέχρις εὐπιθὲς ᾖ. Ἢν δὲ τὸ στόμα [15] μὴ δύνηται ἀνοίγεσθαι, [16] μηδὲ αἱ ὑστέραι ἀγχοῦ προσίω-

[1] Τὸ εἴσω (ἔσω θ) vulg. – Je supprime τό. – ὑστέρων D. – Ante γένηται addit τοῦτο θ. – ἐγγένηται D. – ὅταν δὲ τοῦτο om. θ. – πρότερον δέξηται pro προσδ. K. – ὁμοῦ.... προστίθηται om. L. – προκείμενον DFGHI, Ald., Frob. – πρὶν pro προσκ. θ. — [2] ὅκ. om. θ. – προκείσεται vulg. – προκείσηται Lind. – ὡς προσκείσεται θ. – προσκείσηται DFHIJK. – θάτερον δαίδιον θ. – θ. δ. om. vulg. – ὀρθοῦ ἔτι θ. – ἠνεωγμένου J. – ἀνεογμένου C. – οὕτω Jθ. – οὕτως vulg. — [3] δὲ om. (D, restit. al. manu) FGHIJK. – τούτου FGHIK. – ἕλκηται θ. – ἐξερέηται J. – προστιθῆται J. – προστιθέαται θ. – μολίβδιον θ. – μόλιβδον CDHJK. – εἰκέλως C. — [4] εἶδος ποιῆσαι sine τὸ θ. – κοιλοτάτῳ pro παχυτάτῳ θ. – ὅπως θ. – ξυνέξῃ vulg. – ξυνέξει CFHIJK. – συνέξει D. – δὴ ἁρμονίῃ καλῶς ἕξει pro ξυνέξει θ. — [5] μολίβδου CDJ. – μολυβδίου θ. – ἐληλαμένου θ. – ἐλιλασμένον FGHI. — [6] ἐξ. om. θ. – ὅπως θ. – δὲ θ. – δὲ om. vulg. – μου (sic) pro μοτοῦ θ. – λίον θ. – τρώσῃ vulg. – τρώσει θ. – ποιέει (ποιέειν HIθ) δὲ (δὲ om. θ) ταῦτα ὡς καὶ τὰ (τὰ om. Cθ) τῶν vulg. – παιδίων C. – ὁπόταν θ. – ὅταν D. – ὅμοιος pro ὁ μοτὸς θ. – μολίβδινος CDJK. – αὐτὸν om. J. – τριπτοῦ θ. — [7] ὅταν θ. – παρασκευασμένος (sic) H. – παρασκευασμένον σοι ᾖ θ. – παρασκευασθῇ J. – δαιδίον CH. – μολίβδινον D. – μολίβδιον CJK. — [8] ἢν καῦμα δὲ παρέχῃ προσθετὲν θ. – μολίβδιον CDJK. – μολίβδινον L. – κλύμα vulg. –

à l'intérieur de l'orifice utérin. Quand ce premier bâtonnet est ainsi reçu, on l'ôte pour substituer celui qui suit en grosseur, de manière que celui-ci soit en place avant l'affaissement de l'orifice et quand cet orifice est encore droit et ouvert. Or, on réussira, si on enlève l'un et met l'autre. Il faut aussi avoir une tige en plomb semblable, pour la forme, au bâtonnet le plus gros, mais creusée à l'intérieur pour pouvoir contenir quelque chose. La capacité en sera celle de la sonde pour les plaies. Afin que l'orifice de cette tente soit lisse et ne blesse pas, on la dispose comme le bout des bâtonnets. Quand la tente en plomb est prête, on l'emplit de graisse de mouton broyée. Cela fait, on ôte le bâtonnet, et on met en place le plomb. Si, mis en place, il cause de la chaleur, on le retire et on remet le bâtonnet; on trempe le plomb dans de l'eau froide, et on le replace, après avoir ôté le bâtonnet. Il faut qu'il y ait toujours quelque chose en place : pendant le jour le bâtonnet vaut mieux, le plomb pendant la nuit. Si la femme veut se lever, qu'elle se lève, mais en ayant attention à ce que la tente reste en place; et, en cas de déplacement, elle la remettra aussitôt. Si aucun des bâtonnets employés pour ces cas ne sont reçus, on les fera plus minces, jusqu'à ce que l'opération puisse s'accomplir. Dans le cas où ni l'orifice utérin ne peut être ouvert, ni

κλύσμα L. - καῦμα Foes in not., Lind. - περιέχῃ vulg. - παρέχῃ Lind. — [9] μὲν om. θ. - μολίβδιον CDK. - δαιδαν (sic) θ. — [10] καὶ.... προσθεῖναι om. J. - Post καὶ addit αὖτις θ. - μολίβδιον CD. - ὑποβάψαι D. - ἔπειτ' θ. - προστιθέναι vulg. - προσθεῖναι Cθ. - χρὴ post αἰεὶ D. - αἰεὶ CDFGHJKθ, Lind. - ἀεὶ vulg. - ἐπὶ pro τι θ. — [11] [καὶ] τὴν [μὲν] Lind. - ἀμείνω vulg. - ἄμεινον θ. - δαίδα (sic) H. - δὲ om. θ. - μολίβδιον CDJK. — [12] δὲ θ. - φλασσομένη (sic) C. - ὅπως θ. - ἀτρεμέει Ald. — [13] εἰ θ. - δαιδίων ὧν (τῶν C; ἃ θ) (addit δὴ θ) πρόσκειται (προσέκειτο θ) vulg. - προσέχηται pro προσδέχηται D. — [14] μέχρις οὗ προσδέχηται (προσδέξηται CDFGHIJKL, Lind.) ἐκ τουτέων εἰς (ἐξ pro εἰς DHI; ἐς CK, Lind.) (ἐξεκεῖνα sic J) καθεστάναι (καθιστᾶναι D; καθεστᾶναι C) καὶ εὐπιθῆσαι (εὐπειθῆσαι J; ἀπιθῆσαι K; εὐπειθήσει C; εὐπαθήσει Vatic. Codd. ap. Foes in not.) vulg. - μέχρι εὐπιθὲς ᾖ pro μέχρις.... εὐπιθῆσαι θ. — [15] μηδὲ vulg. (μήδε sic G; μηδὲ om. J). - μὴ CDFIK θ. — [16] μηδὲ (μηδ' CDJθ) (addunt αἱ CDJθ) ὑστ. vulg. - αὖτις ἐπαναχωρέειν θ. - ἐπαναχωρεῖν vulg. - ἰητρίην (ἰητρείην DHIJK; πυριῆν θ) vulg. - δευτέραν vulg. - δευτέρην θ, Lind. - μαλαχθῶσι vulg. - μαλαχθέωσιν C.

σιν, αὖθις ἐπαναχωρέειν ἐπὶ τὴν ἀρχαίην πυρίην· ἀπὸ δὲ τῆς πρώτης ἐπὶ τὴν δευτέρην, μέχρις ὅτου μαλαχθέωσι καὶ πελαστάτω προσίωσι· [1] κἄπειτ' ἐπειδὰν ἀναστομωθέωσι, προστιθέναι προσθετὰ ποιήσαντα δύο, εἶναι δὲ τὸ μέγεθος ὅσον ἐλαίη, [2] τούτων δὲ τὸ ἕτερον προσχεῖσθαι, μέχρις ὅτου ἐκτακῇ, κἄπειτα θάτερον προστιθέναι· ὁκόταν δὲ προστίθεσθαι μέλλῃς, [3] βάψαι τὸ προσθετὸν τὸ ἐκ τῆς ῥητίνης, ἀφίστησι γὰρ ἀπὸ τοῦ στόματος τῶν ὑστερέων, ἐς ἔλαιον ῥόδινον ἢ ἴρινον. Πρὶν δὲ τὸ [4] μολύβδινον προσχέεσθαι χρὴ, ὅκως ἐν ὀρθῷ τῷ στόματι ἐρηρείσεται ἐς τὸ ἔσω τοῦ σώματος· ἔπειτα μαλθακτήρια προστιθέναι, λούεσθαι δὲ θερμῷ καὶ πρὸ τῶν προσθετῶν καὶ ὕστερον, καὶ δεῖπνον διδόναι τῶν [5] θαλασσίων. Ὅταν δὲ ἡμέραι γένωνται δύο ἢ τρεῖς ἀπὸ προσθέσιος, σκεψάμενος, ἢν μὲν τὸ στόμα καλῶς ἔχῃ τῶν ὑστερέων καὶ καθαρὸν ᾖ, παύεσθαι τουτέου τοῦ προσθετοῦ, μετὰ δὲ τοῦτο μαλθακτήρια· ὅταν [6] δὲ ἀποφλεγμήνῃ, αἰεὶ προσκείσθω τὸ δαίδιον ἢ τὸ μολύβδιον· ἢν δὲ μήπω καθαρὸν ᾖ τὸ στόμα τῶν ὑστερέων, αὖθις προστιθέναι τὸν αὐτὸν τρόπον τὰ φάρμακα, καὶ τἄλλα [7] ποιέειν, ὡς εἴρηται, καὶ τὸ [8] στόμα ἀναφυσῆν δεῖ καὶ τὰς ὑστέρας ὧδε, προσθετὸν ποιήσαντα [9] τὸ ξὺν τῷ σύκῳ προσθεῖναι· ποιέειν δὲ δύο καὶ ταῦτα· [10] πρὸ δὲ τοῦ προσθεῖναι πυριῆσαι τῇ πυρίῃ τῇ ἐκ τοῦ μαράθρου τῇ πρόσθεν εἰρημένῃ· μετὰ δὲ τὴν πυρίην τῇ ὑστεραίῃ προστιθέναι τὸ [11] φάρμακον λούσαντα· λούειν δὲ καὶ ἐς ἑσπέρην·

[1] Καὶ ἐπ. C. – ἀναστομωθῶσι vulg. – ἀναστομωθέωσι C. – προσθεῖναι θ. – δύο θ. – δύο om. vulg. – ὡς (adest spatium vacuum quinque vel sex litterarum) κοτινάδα pro εἶναι.... ἐλαίη θ. — [2] πυριάσαι δὲ πρὶν θάτερον τούτω προσκεῖσθαι μέχρι ὅτου ἐκτακῇ· ὅταν δ' ἐκτακῇ, καὶ θάτερον προστίθεσθαι pro τούτων.... μέλλῃς θ. – τούτω J. – ὅτου om. J. – ἐκταμῇ H. – καὶ ἔπειτα C. – ὅταν C. – μέλῃς C. — [3] ἅψαι vulg. – ἄψαι DIK. – βάψαι Foes in not., Lind. – βάπτειν δὲ θ. – ῥιτ. FG. – ἀφίσταται θ. – ἢ ἴρινον om. θ. – ἠρινὸν C. — [4] μολίβδιον D. – μολύβδιον θ, Lind. – μολίβδινον CJK. – προσχέεσθαι vulg. – προσκέεσθαι C. – προσκέεσθαι.... μαλθακτήρια om. J. – ὅπως τῷ σώματι ἐρηρείσεται ἐς τὸ ἔσω τοῦ στόματος θ. – σώματι (D, emend. al. manu) FG, Ald. – ἐνειρίσηται vulg. – ἐνειρύσηται DH, Foes in not., Lind. – ἐνειρίσεται C. – εἰς vulg. – ἐς CDHIK, Lind. – εἴσω vulg. – ἔσω Kθ. – λοῦσθαι θ. — [5] θαλασσίων τι τῶν εἰρημένων· διδόναι δὲ, (τι τῶν εἰ. διδ. δὲ om. θ) ὅταν (addit δὲ θ) ἡμέραι vulg. – τρὶς θ. – καὶ [ἢν] καθαρὸν Lind. – καὶ παύεσθαι legit Foes in not. — [6] δ' θ. – ἀποφλεγμαίνῃ CIJK. – ἀναφλεγμήνῃ legit Foes in not. – αἰεὶ προσκείσθω τὸ δαιδίον ἢ τὸ μολύβδιον· ἢν δὲ μήπω καθαρὸν ᾖ θ. – αἰεὶ.... ᾖ om. vulg. – αὖτις θ. – τὸν α. τρ. om. θ. – τὰ ἄλλα C. — [7] ποιέειν κατὰ τὸν ὑφηγημένον τρόπον· ὅταν δὲ (δὲ om. DFGIK, Ald.) καλῶς ἔχῃ τὸ

la matrice amenée à proximité, il faut en revenir à la fumigation du début, commençant par la première et finissant par la seconde, jusqu'à ce que l'utérus s'assouplisse et s'abaisse très-près. Quand il est ouvert, on a deux pessaires, gros comme une olive ; on en met un, qu'on laisse jusqu'à ce qu'il fonde ; puis on met l'autre. Ce pessaire à la résine, quand il va être placé, sera plongé dans de l'huile de rose ou d'iris, ce qui l'empêche de se coller à l'orifice utérin. Auparavant il faut mettre le plomb, afin que le pessaire soit dans un orifice droit et s'enfonce à l'intérieur du corps de l'utérus. Puis on applique les émollients. La femme se lave à l'eau chaude et avant les pessaires et après. Son dîner est de poissons de mer. Quand deux jours ou trois ont passé après cette application, on considère si l'orifice est en bon état et mondifié, et l'on cesse l'usage de ce pessaire, auquel on fait succéder les émollients ; et, quand l'inflammation est tombée, on entretient toujours en place le bâtonnet ou le plomb. Mais si l'orifice utérin n'est pas encore mondifié, on applique de nouveau en pessaire les médicaments, et on fait le reste comme il a été dit ; on produit l'insufflation de l'orifice utérin et de l'utérus en appliquant le pessaire à la figue ; on en a aussi deux de cette espèce ; avant de les mettre, on administre la fumigation avec le fenouil indiquée plus haut. Après la fumigation, le lendemain, on applique le médicament, on a auparavant donné un bain, on en donne un aussi le soir. On trempe ce pessaire, comme l'autre,

σῶμα (στόμα Vatic. Codd. ap. Foes), ἀναφυσῆν (ἀναφυσεῖν F ; ἀναφυσσῆν J ; ἀναφυσοῦν L) (κατὰ.... ἀναφυσῆν om. θ) ὡς vulg. — [8] στ. δὲ (δὲ om. Cθ) vulg. – ἀναφυσᾶν θ. – ἀναφυσσῆν J. – ἀναφυσοῦν L. – δὲ pro δεῖ DL. – χρὴ θ. — [9] τὸ θ. – τὸ om. vulg. – σὺν θ. – καὶ om. J. — [10] καὶ τῇ πυρίῃ τῇ ἐκ τοῦ βαράθου (sic) πυριῆσαι (adest hic spatium vacuum quindecim vel sedecim litterarum) pro πρὸ.... εἰρημένῃ θ. – πυριῆσαι καὶ τῇ vulg. – J'efface ce καὶ, qui, par le fait, manque dans θ. – μαράθου CGHIK, Ald., Frob. — [11] φάρμακον · ὅταν δὲ μέλλῃ προστιθέναι (πρ. om. J) πρὸ πάντων τῶν προσθετῶν λούσαντα, οὕτω (οὕτως CDFGHIK) προστιθέναι · τῇ δ' ὑστεραίῃ ἡμέρῃ vulg. – φάρμακον λούσαντα · λούειν δὲ καὶ ἐφεσπέρην · βάπτειν δὲ καὶ τοῦτο ἐς ἔλαιον, ὅταν προστίθηται · μετὰ δὲ τὴν κάθαρσιν τῇ ὕστερον ἡμέρῃ θ. – ἀρρῆγι FGI, Ald., Frob. – ἄχρι Cθ. – ἣν pro ἂν C.

βάπτειν δὲ καὶ τοῦτο ἐς ἔλαιον, ὅταν προστίθηται· μετὰ δὲ τὴν κάθαρσιν τῇ ὕστερον ἡμέρῃ μαλθακτήρια ἀρήγει ἄχρις ἂν φλεγμήνωσι· [1] μετὰ δὲ τὴν φλεγμασίην ποιέειν τὴν δαΐδα κατὰ τὸν ἔμπροσθεν λόγον. Ποιέειν δὲ καὶ περὶ [2] τοῦ προσθέτου τούτου τοιαῦτα, οἷά περ καὶ περὶ τοῦ προτέρου· [3] κὴν μὲν ἅπαξ προστεθὲν ἀρκεόντως δοκέῃ ἀναφυσῆσαι τὰς ὑστέρας, πεπαῦσθαι· ἢν δέ [4] τι χρήζῃ, αὖθις προστιθέναι τὸν αὐτὸν τρόπον ὅνπερ τὸ πρότερον. Μετὰ δὲ ταῦτα, ὅταν δοκέῃ σοι καιρὸς εἶναι, τὴν πυρίην κατασκευάζειν τὴν ἐκ τῶν θυμιημάτων· [5] σκευάζεται δὲ τόνδε τὸν τρόπον· κύπειρον κόψαντα καταστῆσαι ὅσον σκαφίδα, καὶ κάλαμον μυρεψικὸν ἕτερον τοσοῦτον, καὶ σχοίνου τῆς μυρεψικῆς ἴσον, καρδαμώμου τε ἴσον, καὶ κυμίνου αἰθιοπικοῦ, καὶ ἀννήσου, καὶ πηγάνου ξηροῦ, καὶ ὑπερικοῦ, καὶ μαράθου σπέρμα· ὅταν [6] δὲ ταῦτα παρασκευάσῃς, ἐγχέας ἐς τὸν χύτρινον οἴνου αὐστηροῦ κοτύλας ἓξ ὡς εὐωδεστάτου λευκοῦ, ἐπιπάσαι τῶν κεκομμένων ὅσον τεταρτημόριον, [7] καὶ ἀναταράξαι· εἶτα ἐπιχέαι ὅσον τριώβολον ὁλκὴν μύρον αἰγύπτιον ὡς βέλτιστον, ἢ ἀμαράκινον, ἢ ἴρινον ἄκρον· ὅταν δὲ ἐπιχέῃς, ἀναταράξαι· [8] πυριῆν δὲ μαλθακῇ πυρίῃ πλεῖστον χρόνον· λούειν δὲ πρὸ τῆς πυρίης, καὶ πυριῆν ἡμέρας δύο ἢ τρεῖς· ὅταν δὲ παύσηται πυριωμένη, ἐπίθεμά τι χρὴ ἐπικέεσθαι ἐπὶ τῇ πυρίῃ, ὅκως μὴ ἀποπνέῃ· μετὰ δὲ τοῖσι δαιδίοισι καὶ [9] τοῖσι μολύβδοισι χρέο· ὅταν δὲ πυριήσῃς ἡμέρας δύο ἢ τρεῖς, ἑτέρας διαλιπεῖν δύο ἢ τρεῖς· τὰς [10] δὲ μεταξὺ ἡμέρας λούειν δὶς τῆς ἡμέ-

[1] Καὶ μετὰ τὴν φλ. J. – μ. δὲ τ. φλ. om. θ. – ποιέειν τὰ ἄλλα (τὴν δαιδα sic θ) κατὰ vulg. — [2] τοῦ πρόσθεν τούτου του (sic) θ. – περ om. DFGIKθ. — [3] κὴν (καὶ ἢν C) μὲν μείνῃ (ἢ C; μήνη Ald., Frob.; μένη DFHIJKL) ἅπαξ προστεθὲν, ἀρκέοντος (ἀρκεόντως J) δοκέῃ (δοκέει D; δοκεῖ J) εἶναι, φυσῆσαι τὰς ὑστέρας καὶ πεπαῦσθαι vulg. – καὶ ἢν μὲν ἅπαξ προστεθὲν ἀρκοῦντος δοκέῃ ἀναφυσῆσαι τὰς ὑστέρας πεπαῦσθαι θ. — [4] τις vulg. – τι θ. – χρίζῃ θ. – χρήξῃ H. – αὖτις Cθ. – προστ. om. J. – ὅνπερ καὶ (καὶ om. C; τὸ pro καὶ θ) πρ. vulg. – ταῦτα om. θ. – ὅταν καλῶς (καλῶς om. θ) δ. σοι καὶ (καὶ om. θ) καιρὸς vulg. – κατασκευάσαι θ. – θυμιημάτων C. – θυμιωμάτων θ. – θυμιαμάτων vulg. — [5] σκευάσαι δὲ ὧδε pro σκ.... τρόπον θ. – τὸν pro τόνδε F. – Post τρόπον addit κατασκευάζην (sic) τὴν ἐκ τῶν θυμιημάτων πυρίην τόνδε τὸν τρόπον C. – κύπαιρον θ. – ὕπερον (sic) F. – κύπερον vulg. – κατασῆσαι Cθ. – καταστῆσαι vulg. – σταφίδα, al. manu σκαφίδα D. – σχίνου DH. – σχῖνον K. – (Addit καὶ D) καρδάμου (καρδαμώμου θ) τε (τε om. D) vulg. – ἀννήθου θ. – ἀνίσου CDHJ. – ἀνήσου K. – μαράθρου D. — [6] δὲ παρασκευάσῃ

dans de l'huile, au moment de le mettre. Après la mondification, le lendemain, les émollients conviennent tant qu'il y a inflammation. Quand l'inflammation est passée, on applique les bâtonnets selon ce qui a été dit plus haut. Au reste on fait pour ce pessaire exactement comme pour le précédent. Si une seule application paraît suffire pour produire l'insufflation de l'utérus, on s'en tient là ; mais, s'il est encore quelque besoin, on applique de nouveau le pessaire de la même façon. Ensuite, quand l'opportunité paraît venue, on prépare la fumigation des aromates. Elle se prépare ainsi : triturer et tamiser cypérus une conque (0[litre],023), calamus odorant autant, jonc odorant autant, cardamome autant, graines de cumin d'Éthiopie, d'anis, de rue sèche, d'hypéricon et de fenouil ; quand on a préparé tout cela, on verse dans le vase six cotyles de vin astringent blanc très-odorant, on jette un quart de cotyle des substances broyées et on agite. Puis on ajoute un tiers d'obole de parfum égyptien aussi bon que possible, ou de l'excellente huile de marjolaine ou d'iris ; quand on verse, on agite. On fait une douce fumigation et on la prolonge autant qu'on peut ; on donne un bain auparavant, et on la répète pendant deux ou trois jours. Quand la fumigation est finie, on met un bouchon sur la fumigation, afin qu'elle ne s'évapore pas. Puis on use des bâtonnets et des plombs. Quand on a fumigé deux ou trois jours, on fait une interruption de deux ou trois jours ; dans ces jours intermédiaires on donne deux bains par jour. La femme

ταῦτα ἐς τὸν χ. οἴκου (sic) αὐστ. κ. ἓξ ὡς εὐ. ἐγχέαι λευκοῦ καὶ ἐπ. θ. - κατασκευάσῃς J. - εἰς vulg. - ἐς CDFHIK, Lind. - ἐπιπάσσαι FIJ. - τεταρτημόριον θ. — [7] καὶ om. K. - τριόβολον C. - κράτιστον pro ὡς βελ. θ. - ἡρίζανον pro ἴρινον C. - εἴρινον θ. - ὅταν δὲ ἐ., ἀν. om. θ. — [8] πυρίην (καὶ πυριῆν Lind. ; πυριῆν δὲ θ) μαλθακὴν (μαλθακῇ θ, Lind.) τῇ (τῇ om. θ) πυρίῃ vulg. - πλέονα χρόνον ἡμέρας δύο, λούειν δὲ πρὸ τῆς πυρίης· ἐπὴν δὲ παύσηται θ. - πυριῆν δὲ (sine καὶ) ἡμέρας C. - ὅταν.... τὰς δὲ μεταξὺ om. L. - ἐπιθέματι CG. - ἐπιθήματι θ. - ἐπικεῖσθαι vulg. - ἐπικέεσθαι C. - ὅπως θ. — [9] τῶ μολίβδω χρῆσθαι θ. - τῆσι D. - μολίβδοισι DJK. - μολίβδεσι C. - ὅταν.... ἡμέρης om. θ. - ἡμέρας pro ἑτέρας J. — [10] δὲ om. C. - λούσασθαι C. - ἡμέρας pro ἡμέρης J. - πράσσα C. - ὠμὰ κ. ἑ. K. - Post ὠμὰ addit καὶ σισυμβρον (sic) θ. - ῥαφανίδας CDFGIKθ, Ald., Lind. - κάρδαμον θ.

ρης. Ἐσθίειν δὲ πράσα ἑφθὰ καὶ ὠμὰ καὶ ῥαφανῖδας καὶ κάρδαμα καὶ σκόροδα [1] ὀπτὰ καὶ ἑφθὰ, καὶ τὸ πόμα ἀκρητέστερον, καί τοῖσι θαλασσίοισι τοῖσι προειρημένοισι χρέεσθαι. [2] Ὅταν δὲ αἱ ἡμέραι διαλιπόμεναι παρέλθωσι, πυριῆν χρὴ ἐπιπάσαντα ὀλίγιστα ἑκάστου τῶν κεκομμένων ἐς τὴν ὑπάρχουσαν πυρίην, καὶ οἶνον [3] ἐπιχέαι· ἢν δοκέῃ δεῖσθαι, καὶ ἔλαιον, [4] καὶ τούτῳ πυριῆσθαι. Ὁκόταν δέ σοι δοκέῃ καλῶς ἔχειν [5] τῶν πυριῶν, καὶ τὸ στόμα μαλθακὸν εἶναι καὶ ἀνεστομωμένον ὡς χρὴ, καὶ αὗται αἱ ὑστέραι ἐγγὺς, μετὰ τὴν πυρίην τὴν ὑστέρην ἡμέρην προστιθέναι τὸ φάρμακον τὸ ξὺν τῇ σμύρνῃ· προσθετὰ [6] δὲ εἶναι δύο· μετὰ δὲ τὴν κάθαρσιν τῇ ὑστεραίῃ ἡμέρῃ τὰ μαλθακτήρια προστιθέναι, μέχρις ὅτου ἀποφλεγμήνωσιν αἱ ὑστέραι· [7] μετὰ δὲ τοῦτο τοῖσι δαιδίοισι καὶ μολυβδίοισι χρῆσθαι· τὴν δὲ δύναμιν τεκμαιρόμενον τοῦ σώματος, αὖθις ἀναπυριῆν ὡς γέγραπται· [8] ἢν μὲν δοκέῃ [ἡ] ἔτι ὑπάρχουσα πυρίη ἱκανὴ εἶναι, ἐς ταύτην ἐμβαλὼν τῶν θυμιαμάτων ὥσπερ τὸ πρότερον, καὶ οἶνον ἐπιχέων καὶ ἔλαιον· ἢν [9] δοκέῃ δὲ ἄχρηστος εἶναι αὕτη ἡ πυρίη, ἑτέρην ἐξ ἀρχῆς κατασκευάζειν. [10] Ὅταν δὲ προπυριάσῃς αὖθις τὸν αὐτὸν τρόπον, ὅνπερ πρότερον προεπυρίασας, προστιθέναι τὸ φάρμακον τὸ σὺν τῷ στέατι· ποιεῖν δὲ δύο τὰ προσθετὰ, καὶ προστιθέναι τὸν αὐτὸν τρόπον, ὅνπερ πρότερον· μετὰ δὲ τὰς προσθέσιας τῇ ὕστερον ἡμέρῃ κατὰ τὸν ἔμπροσθεν λόγον τὰ μαλθακτήρια προστιθέναι· τούτῳ δὲ τῷ φαρμάκῳ χρῆσθαι δι' ἡμέρας τετάρτης προπυριῶντα· [11] αἰεὶ δὲ

[1] Ἑ. κ. ὀπ. Cθ. – πῶμα (sic) ἄκρητον θ. – σιτίοισι pro τοῖσι προειρημένοισι θ. – χρῆσθαι θ. — [2] καὶ αὖτις pro ὅταν.... παρέλθωσι θ. – αἱ om. C. – διαλειπόμεναι CJK. – διέλθωσι J. – πυριᾶν θ. – ἐπιπάσσαντα CHIJK. – ὀλίγοστα C. – εἰς vulg. – ἐς CDH, Lind. — [3] ἐπιχέειν K. – καὶ ἔλαιον ἢν δοκέῃ δεῖσθαι θ. — [4] καὶ om. θ. – τοῦτο J. – πυριᾶν θ – ὅταν θ. — [5] τῆς πυρίης, καὶ τό τε στόμα θ. – ἐγγὺς αἱ ὑστ. C. – ἐγγὺς om. θ. – τῇ ὕστερον ἡμέρῃ CDHIK. – ἡμέρῃ J. – σὺν θ. — [6] δ' θ. – ὑστερέῃ C. – ἡμέρῃ om. DFGHIJKLθ. – πρὸς τὰ μαλθ. J. – καὶ (καὶ om. θ) μέχρις (μέχρι θ) vulg. – ἀποφλεγμαίνωσιν G. — [7] καὶ pro μετὰ δὲ τοῦτο θ. – καὶ μολ. om. θ. – μολιβδίοισι CDJK. – χρῆσθαι (χρέεσθαι L, Lind.)· μετὰ δὲ ταῦτα διαλιπεῖν ἡμέρας ὡς (ὅσας C) ἂν δοκέῃς εἶναι τὰς φλεγμασίας ἀποσκεπτόμενον (ἀποσκηπτόμενον CDFGJ) τῶν ὑστερέων (μετὰ.... ὑστερέων om. θ), καὶ τὴν (τὴν δὲ θ) δύναμιν vulg. – Cette phrase de vulg. n'est pas correcte; pour la corriger, il faudrait quelque conjecture. Je préfère la supprimer avec θ, cette suppression ne faisant aucun dommage au sens. – τεκμαιρόμενος K. – αὖτις ἀναπυριᾶν θ. — [8] ἢν.... ἔλαιον om. θ. – δοκέει J. – J'ai ajouté [ἡ] entre crochets. – ἐς τ' αὐτὴν C. –

mangera des poireaux bouillis et crus, des radis, du cardame (*erucaria aleppica*), de l'ail grillé et bouilli; elle boira du vin pur, et prendra à son repas les poissons de mer indiqués plus haut. Quand les jours d'interruption sont passés, on fait la fumigation en jetant très-peu de chacune des poudres dans la fumigation qui a déjà servi, et on y ajoute du vin, et, si besoin en est, de l'huile; et l'on fait ainsi la fumigation. Quand les fumigations semblent avoir bien opéré, que l'orifice utérin paraît souple et ouvert comme il faut, et l'utérus lui-même s'être approché, on met, le jour suivant, après la fumigation, le pessaire à la myrrhe; on en a deux; après la mondification, le lendemain, on applique les émollients jusqu'à ce que l'inflammation soit dissipée; puis on use des bâtonnets et des plombs. Prenant en considération la force du sujet, on fumige de nouveau comme il a été dit. Si la fumigation qui se trouve toute préparée paraît encore bonne, on y jette des parfums comme précédemment, du vin et de l'huile; si elle ne paraît plus bonne, on en prépare une à nouveau. Quand on a fumigé de rechef de la même façon qu'on avait fait précédemment, on applique le pessaire avec la graisse; on a deux de ces pessaires, et on les met de la même manière que plus haut. Après les applications, le lendemain, on applique les émollients d'après la règle susdite. On se sert de ce médicament tous les quatre jours, après avoir administré une fumigation; il doit toujours être récemment préparé pour chaque application; on s'en sert jusqu'à ce qu'il vienne une humeur sangui-

ἐκβαλὼν CFGHIJK. - θυμ. om. C. — [9] δὲ δοκέῃ ἡ πυρίη εἶναι φλαῦρος θ. - δοκέῃ δὲ (δὲ om. C) αὐτὴ (αὐτὴ om. J; αὕτη C) ἄχρηστος εἶναι (addit αὕτη J) ἡ πυρίη vulg. - ἀρχῆθεν (sic) pro ἐξ ἀρχῆς θ. - παρασκευάζειν G. - ποιέειν θ. — [10] ὅταν δὲ προπυριάσῃς αὖτις τὸν αὐτὸν τρόπον ὅνπερ πρότερον προεπυρίασας, προστιθέναι τὸ φάρμακον τὸ σὺν τῷ στέατι· ποιεῖν δὲ δύο τὰ πρόσθετα, καὶ προστιθέναι τὸν αὐτὸν τρόπον, ὅν περ πρότερον· μετὰ δὲ τὰς προσθέσιας τῇ ὕστερον ἡμέρῃ κατὰ τὸν ἔμπροσθεν λόγον τὰ μαλθακτήρια προστιθέναι· τούτῳ δὲ τῷ φαρμάκῳ χρῆσθαι δι' ἡμέρας τετάρτης προπυριῶντα θ. - ὅταν.... προπυριῶντα om. vulg. — [11] δεῖ (αἰεὶ pro δεῖ θ) δὲ vulg. - σπογγὸν K. - μέχρι ἂν ὕφ. μὴ καθαίρηται θ. - ὕφασμα (F, al. manu) G.

σιλφίου, ὅσον κύαμον, καὶ διδόναι τοῦτο πρῶτον· μετὰ δὲ τοῦτο τἄλλα τὰ προγεγραμμένα ποιέειν. Ὅταν δὲ ἡμέραι γένωνται πέντε καὶ εἴκοσιν [1] ἐν ταύτῃ τῇ διαίτῃ, τὰ μὲν ἄλλα ποιέειν κατὰ [2] ταὐτὰ, πρὸ δὲ τοῦ ἀρίστου, ὅταν μέλλῃ ἀριστᾷν, προτρῖψαι σκορόδου ἄγλιθας ὅσον τέσσαρας, καὶ τυρὸν δριμὺν ὅσον ἀστράγαλον, καὶ ἄλφιτα παραμῖξαι ὀλίγα, καὶ [3] ποιῆσαι μαγίδα, καὶ ταύτην πρῶτον καταφαγεῖν, πρὸ δὲ τοῦ δείπνου ἄκρητον ἐπιῤῥοφέειν, καὶ οὕτω σιτεῖσθαι· τὰ δ' ἄλλα τὴν αὐτὴν διαίτην διαιτῆν. Ὅταν [4] δὲ ἐννέα ἡμέραι ἢ δέκα γένωνται διάλοιποι ἐς τὸν χρόνον, διδόναι καὶ μετὰ τῶν ᾠῶν [5] καὶ τῆς ἀκτῆς κύμινον αἰθιοπικὸν, καὶ τοῦ κάστορος ὅσον ὀβολόν. Ὅταν δὲ ἡμέραι [6] λοιπαὶ δύο ἔωσι, τουτέων μὲν ἀπαλλαγῆναι πάντων τῶν πομάτων καὶ τῶν καταποτίων, [7] τὸ δὲ ξὺν τῇ δαιδὶ φάρμακον διδόναι λουσαμένῃ νήστει· μετὰ δὲ τὴν πόσιν τοῦ φαρμάκου διδόναι λινόζωστιν καὶ κράμβην ὁμοῦ ἑψῶντα ἐν ὕδατι, [8] ἡδύναντα ἐν ὀξυγλύκει καὶ ἁλσὶ καὶ σιλφίῳ καὶ ἐλαίῳ ἐπὶ τῷ ἀρίστῳ· [9] ταῦτα δίδου καὶ αὐτὰ τρώγειν καὶ αὐτὸν τὸν χυλὸν ῥοφέειν, καὶ τὸ πόμα ἀκρητέστερον πίνειν· ὄψοισι δὲ χρῆσθαι πουλυποδίῳ ἑφθῷ, ἢ σηπιδίοισι. Ταῦτα μὲν ἐπὶ τῷ ἀρίστῳ, [10] ἐπὶ δὲ τῷ δείπνῳ κρέας αἰγὸς, ἢ οἶος, ἢ ἀρνὸς δίεφθα, καὶ πράσα, καὶ τῶν ἄλλων δριμέων ὅ τι ἂν βούληται· λουσάσθω δὲ ἀπὸ τοῦ δείπνου. Αὕτη ἡ δίαιτα τὰς δύο ἡμέρας [11] τὰς ὑστάτας. Ἢν δὲ πρὸς τὴν δίαιταν ταύτην μὴ κατασπασθῇ τὰ ἐπιμήνια, τὸν ἐπιόντα μῆνα [12] τὴν αὐτὴν δίαιταν ἐξ ἀρχῆς

[1] Ταῦτα sine ἐν C. – ἐν om. θ. — [2] ταῦτα vulg. – ταὐτὰ C, Lind. – ἀρίστου τρίψας σκορόδου ἄγλιθας δσον τέσσερας θ. – σκόροδα H. – σκορώδων (sic) K. – ἄλγιθας Q'. – οἷον τέσσαρας vulg. — [3] ποιῆσαι θ. – ποιέειν vulg. – ταύτην δὲ pro καὶ τ. Cθ. – πρὸ.... ἐπιῤῥ. om. θ. – δείπνου om. L. – ἀκρήτου ἐπιροφεῖν C. – δίαιταν θ. – διαιτῆν om. Cθ. — [4] δ' θ. – ἢ δέκα θ. – ἢ δ. om. vulg. – γένωνται καὶ (καὶ om. Cθ) διαλίποι (διαλείποι K; διαλίπωσι Foes in not., Lind.; διάλοιποι sic θ) ἐς vulg. – διάλοιπος, quoique ne se trouvant pas dans les lexiques, peut être adopté sur la foi de θ. – διδόναι τοῦτο πρῶτον (τ. πρ. om. θ) καὶ vulg. — [5] καὶ om. DFG (H, restit. al. manu) JK. — [6] δύο λοιπαὶ K. – δύο λοιπαὶ δύο ἔωσι C. – πωμάτων θ. – καταπότων θ. — [7] τῷ pro τὸ DH. – τῷ δαιδίῳ vulg. – τῇ δαιδὶ Cθ. – νήστει λουσ. C. – νήστι λουσ. θ. – λουσαμένην G. – τοῦ φ. τὴν πόσιν C (θ, πόσι). – λινόζωστιν D. – λινοζῶστιν vulg. – ἕψοντα C. — [8] ἢ δύναντα DHθ. – ἐν om. θ. – ὄξει καὶ γλυκεῖ Cθ. – ὀξυγλύκῳ (sic) DFGHIJK. — [9] τ. δ. τρώγειν καὶ τῶν χυλῶν (τὸν χυλὸν al. manu H) ῥοφέειν vulg. – τ. δ. καὶ αὐτὰ τρώγειν καὶ αὐτὸν τὸν χυλὸν ῥοφέειν C (θ, sine καὶ α. τ. χ. ῥ.). – πῶμα θ. – εὐκρητέστερον J. – πουλυποδίῳ θ. –

passer quelque temps, puis prend un bain, puis prend la rue et le fromage, et enfin déjeune avec quelqu'une des choses susdites. Elle dînera tard. Il faut qu'elle se baigne deux fois par jour. Ce régime va jusqu'au treizième jour ou au quatorzième. Quand ce terme est passé, on fait des bols avec le suc de silphion, de la grosseur d'une fève, et on donne cela d'abord; puis on fait tout ce qui a été écrit précédemment. Quand vingt-cinq jours se sont passés dans ce régime, elle continue de même, sauf qu'avant le déjeuner et au moment de déjeuner, elle broie quatre gousses d'ail, gros comme un osselet de fromage âcre, y mêle un peu de farine d'orge, et en fait une pâte qu'elle avale d'abord. Avant le dîner elle boit du vin pur, et, ainsi préparée, se met à table. Du reste le régime est le même. Pendant les neuf ou dix jours qu'il y a encore jusqu'au temps des règles, elle prend, avec les œufs de sèche et le sureau, du cumin d'Éthiopie et une obole de castoréum. Quand il n'y a plus que deux jours, elle cesse tous ces breuvages, tous ces bols; mais elle prend à jeun, après un bain, la préparation à la branche de pin. Après l'administration de ce médicament, on donne au déjeuner la mercuriale et le chou cuits ensemble dans l'eau et assaisonnés d'oxyglyky (*mélange de miel et de vinaigre*), de sel, de silphion et d'huile; elle mange ces herbes et boit l'eau où elles ont cuit. Son vin est pur. Pour plats, elle a de petits poulpes bouillis ou de petites sèches. Voilà pour le déjeuner. Au dîner, viande de chèvre, ou de mouton, ou d'agneau, très-cuite; poireaux et tous les herbages âcres qu'elle voudra. Elle se baignera avant le dîner. Tel est le régime des deux derniers jours. Si la manière de vivre ainsi observée n'amène pas les règles, on la reprend le mois suivant d'un bout à l'autre, sauf les deux derniers jours. L'avant-dernier de ces deux jours, on fait des pessaires qu'on

πολ. vulg. - σιπιδ. FFIK. — [10] ἐπὶ δείπνῳ δὲ Cθ. - τὸ δεῖπνον DQ'. - ἢ αἰγὸς ἢ θ. - ἀρνοῦ vulg. - ἀρνὸς DFGHIJKθ. - ἀρνίου Lind. - ἄρνα Q'. - δ' ἀπὸ θ. — [11] ἐς τὰς FGHIJKL, Lind. - ὑστέρας vulg. - ὑστάτας θ, Lind. - καταμήνια K. — [12] Ante τὴν addunt μὴ IK.

[1] διαιτῆν ἄχρι τῶν ὑστάτων δύο ἡμερέων· ταύτας δὲ τὰς δύο[2] τῇ πρότερον ἡμέρῃ τῆς ὑστάτης προσθετὰ ποιήσας, προσθεῖναι κατὰ τὸν ἔμπροσθεν λόγον, [3] φαρμάκου τοῦ ἐν τῷ ὕδατι ποιευμένου· προστιθέσθω δὲ προλούσας. Σκέψασθαι δὲ χρὴ καὶ τῶν ὑστερέων ὅκως ἔχουσι, [4] καὶ αἰεὶ παρὰ πάντα τὸν χρόνον ὅκως καλῶς ἕξουσι, καὶ τὸ στόμα ὀρθόν τε καὶ ἀνεστομωμένον εἴη. Καὶ ἢν [5] δοκέωσι πρὸ τῆς προσθέσιος προπυριατέαι εἶναι· ἢν δὲ καταῤῥαγῇ τὰ ἐπιμήνια, ἢν μὲν συχνὰ, ἐλάσσοσι τοῖσι λουτροῖσι κεχρῆσθαι· ἢν [6] δὲ ἐλάσσω, πλέοσιν· ἢν [7] δὲ προσημήναντα μὴ ἴῃ, αὖθις τῇ διαίτῃ τῇ αὐτέῃ ἐκθεραπεύειν, ἄχρις ὅτου ἂν φανῇ τὰ ἐπιμήνια· ὅταν [8] δὲ ἅπαξ ἔλθῃ, τῇσι τοιαύτῃσιν ἄριστον ἐν γαστρὶ λαμβάνειν. Αὕτη πασέων τῶν ὁμοιοτρόπων νούσων ἡ θεραπείη.

134. Ἢν [9] αἱ μῆτραι ψαύσωσι τοῦ ἰσχίου καὶ προσκέωνται, στεῤῥὸν γίνεται ἐπὶ τὸν κενεῶνα, καὶ ὀδύναι νειαίρης γαστρὸς, καὶ ἐς αὐτὸν τὸν κενεῶνα καὶ [10] ἐς τὰς ἰξύας καὶ ἐς τὰ σκέλεα ἡ ὀδύνη ἐμπίπτει, καὶ τιταίνεται, καὶ ἐκπυΐσκονται, καὶ ἔμμοτοι γίνονται, αἵδε ῥεόμεναι ὄλλυνται, ἢν μὴ τάμῃς ἢ καύσῃς. Ὅταν οὕτως ἔχῃ, φάρμακον πῖσαι κάτω, καὶ λούειν πολλῷ θερμῷ, καὶ πυριῆν τὰς [11] ὑστέρας, καὶ ἐγχέαι οὖρον παλαιὸν ἀναζέον ἐς τὸ κοῖλον τῆς πυέλου, καὶ ἀμφικαθίζεσθαι περικαλύψας [12] εἵματι τὴν γυναῖκα, ὡς μὴ παραπνέῃ· [13] ἐπειδὰν δὲ ἀποψύχηται τὸ οὖρον, ἐμβάλλειν μύδρους διαπύρους ἐς τὸ οὖρον, καὶ πυριῆν μέχρις οὗ ἂν φῇ ἀμαυρὰ βλέπειν

[1] Διαιτᾶν Cθ. – ἡμερῶν C. — [2] ἢ τῇ θ. – ἡμέρα K. — [3] Ante φ. addit τοῦ θ. – προστίθει θ. – δὲ καὶ τῶν ὑσ. χρὴ ὅπως ἂν ἔχωσιν θ. – ἔχωσι DHK. — [4] καὶ om. Cθ. – περὶ vulg. – παρὰ CFGHJL, Lind. – ὅπως θ. – ἐστομωμένον vulg. – ἐστωμωμένον C. – ἀνεστομωμένον θ. – εἴη om. Cθ. — [5] δοκέῃ σοι Foes in not., Lind. – προπυριηθῆναι (προπυριατέαι εἶναι θ; προπυριῆσθαι L, Lind.) vulg. – δὲ καὶ (καὶ om. CFJθ) κατ. vulg. – ἐλάττοσι vulg. – ἐλάττω D. – ἐλάσσοσι θ. – τοῖσι CDGHIJKLθ, Lind. – τοῖσι om. vulg. – χρῆσθαι Cθ. – Post κεχρῆσθαι addit καὶ τῇ ἄλλῃ διαίτῃ τε καὶ θεραπείῃ vulg. – καὶ τῇ ἄ. δ. τ. κ. θ. om. θ. — [6] δ' θ. – πλείοσιν vulg. – πλέοσιν θ. — [7] δὲ om. GHIJK. – μὴ θ, Lind. – μὴ om. vulg. – αὖτις τῇ δ. Cθ. – τῇ om. vulg. – αὐτῇ CJθ. – χρῆσθαι καὶ (χρ. κ. om. Cθ) θεραπεύειν (ἐκθεραπεύειν Cθ) vulg. – ἄχρι sine ὅτου θ. — [8] δ' ἅπαξ εἴη θ. – θεραπείη νούσων sine ἡ θ. – ἡ om. C. — [9] δ' αἱ θ. – προσκαίωνται θ, Ald. – προσκέονται vulg. – προσκέωνται DHIJK, Lind. – προσκαίονται G. – στερεὸν C, – στερὸν FGI, Ald. – ὑπὸ C (H, al. manu) θ. – νιαιρης (sic) θ. – νειαιρῆς Lind. – νειέρης FGHIK, Ald., Frob. – αὐτὸν om. CK. — [10] ἐς om. C. – ἐσπίπτει θ. – ἐπιπίπτει C. – ἐμπυΐσκονται D. – ἔμμοτοι

applique suivant la règle donnée précédemment; ces pessaires sont faits avec le médicament préparé à l'eau; et on les met après avoir fait prendre un bain. Il faut aussi considérer comment se comporte la matrice, de manière qu'elle soit, pendant tout le temps, en bon état, et que l'orifice soit droit et ouvert. Si avant le pessaire on croit devoir administrer une fumigation utérine, on le fera. Les règles font éruption, et elles sont abondantes : on diminue les bains. Elles sont peu abondantes : on augmente les bains. Elles annoncent leur venue, et ne viennent pas cependant : on traite par le même régime jusqu'à ce qu'elles paraissent. Une fois qu'elles sont arrivées, ce qu'il y a de mieux pour ces femmes, c'est de devenir enceintes. Voilà le traitement de toutes les maladies de même genre.

134. (*Formation d'un abcès au flanc, à la suite d'une obliquité latérale de l'utérus.*) Si la matrice est en contact avec l'ischion et s'y appuie, il se forme une dureté au flanc; douleurs dans le bas-ventre; la douleur gagne le flanc même, les lombes, les jambes; il y a des distensions; il se forme du pus, la plaie qui en résulte a besoin de tentes, et les femmes succombent à la diarrhée, à moins qu'on n'incise ou ne brûle. Les choses étant ainsi, administrer un médicament qui évacue par le bas; laver avec beaucoup d'eau chaude; faire des fumigations utérines de la sorte : on verse de la vieille urine bouillante dans un vase creux; la femme s'asseoit sur ce vase enveloppée de vêtements, pour que la vapeur ne se perde pas. Quand l'urine se refroidit, on y jette des pierres chauffées au rouge, et on continue la fumigation jusqu'à ce que la femme

pro ἔμμοτοι D. – γίνονται καὶ (αἵδε αἱρεόμεναι pro καὶ C; αἱ δὲ ῥαιόμεναι θ) ὄλλυνται (ὄλυνται FGHI), ἢν μή τι (τι om. θ) τ. ἢ κ. (κ. ἢ τ. Cθ) vulg. – Lisez αἵδε ῥεόμεναι dans C et θ. — [11] ὑστερας, (addit καὶ θ) ἐγχέαι τε καὶ (τε καὶ om. Cθ) οὖρον π. καὶ (καὶ om. θ) ἀναζέειν (ἀναζέον θ) καὶ (καὶ om. θ) ἐς τὰ κοῖλα (τὸ κοῖλον θ) τῆς πυέλου (πυέλης D) (addit καὶ θ) ἀντικαθίζεσθαι (ἀμφικαθίζεσθαι θ; ἀμφικαθέζεσθαι C, Codd. mss. ap. Foes; ἀμφικαθέξεσθαι H; ἀντικαθέξεσθαι FGIJ; ἀντικαθέζεσθαι D) vulg. – ὑστέρας, καὶ οὖρον π. ἐγχέαι τε ἐς τὰ κοῖλα τῆς πυέλου καὶ ἀναζέειν, καὶ ἀντικαθίζεσθαι Lind. — [12] ἱμάτι (sic) θ. – ἱματίοις C. — [13] καὶ ἐπ. sine δὲ Cθ. – ἐς τὸ οὖρον om. θ. – ἂν Cθ. – ἂν om. vulg. – λειποθ. CDHJK, Lind.

καὶ λιποθυμέειν· [1] λοῦσαι δὲ ἀπὸ τῆς πυρίης θερμῷ ὕδατι· κἄπειτα ἀψαμένην τῷ δακτύλῳ ἕλκειν τὸ στόμα τῶν ὑστερέων πρὸς τὸ ὑγιὲς ἰσχίον, καὶ τὰς νύκτας προστίθεσθαι μαλθακτήρια· ἐπὴν [2] δὲ φῇ κατ' ἰθὺ εἶναι, προπυριήσας τοῖσιν εὐώδεσιν, αὖθις προστιθέναι τὰ μαλθακτήρια, ἀλλὰ καὶ τοὺς μολύβδους ἡμέρας τρεῖς, ἕνα καθ' ἑκάστην ἡμέρην· μετὰ δὲ [3] ταύτας τὴν ἐχέτρωσιν ἢ τὴν σκίλλην τρεῖς ἡμέρας. Μετὰ δὲ [4] τοῦτο σκεψάμενος ἐν τοῖσιν ἐπιμηνίοισι μάνθανε, ἤν τε χολώδεα ᾖ, ἤν τε φλεγματώδεα, ἤν τε αἷμα διεφθορὸς ᾖ, καὶ [5] ἢν δέῃ αὐτὴν αἷμα καθῆραι, προστιθέναι, ὅτου ἄν σοι δοκέῃ μάλιστα δεῖσθαι, καὶ μετακλύζειν τοιουτέοισι· προστιθέναι δὲ τὰ προσθετὰ, ἔστ' ἂν αἷμα καθαρὸν [6] ἀνάγηται, καὶ ταῦτα ἐνεργεῖν τρεῖς ἡμέρας. Ἐλάφου δὲ στέαρ προστιθέσθω τηκτὸν ἐμβάπτων μαλθακὸν εἴριον, ἔπειτα γλήχωνα τὴν ἡμέρην θυμιωμένη τοῖσιν ἀρώμασιν, καὶ οὕτω παρὰ τὸν ἄνδρα ἴτω. Ἢν [7] δὲ ἐκ τόκου ἡ νοῦσος [8] γένηται, κεκαθαρμένης πάντα ἐκ τῆς πυρίης τοῦ οὔρου, αὐτίκα ἰέναι ἐς τὰ εὐώδεα, κἄπειτα λουσαμένην ἄλειφα λευκὸν αἰγύπτιον προστιθέσθω [9] πρὸς τὸ ὑγιὲς ἰσχίον, καὶ καταχείσθω ἐπὶ τοῦτο. Ἢν [10] δὲ μὴ πρὸς ταῦτα μεταστέωσιν αἱ ὑστέραι, πινέτω νῆστις τῆς γλυκυσίδης κόκκους τοὺς μέλανας πέντε, ἐν οἴνῳ εὐώδει, καὶ ἐπὶ τῷ σίτῳ τρωγέτω σκόροδα ὠμὰ καὶ ὀπτὰ καὶ ἑφθά· ὄψοισι δὲ χρήσθω ὡς ἐλαχίστοισιν· ἢν [11] δὲ μὴ γένηται ὑγιὴς, ὡσαύτως καθαίρειν αὐτὴν ὡς ἐπὶ τῆς πρόσθεν. Ἐπὶ δὲ ταύτης τῆς νούσου, ἢν μὴ αὐτίκα σχῇ ἐν γαστρὶ, ἄτοκος γίνεται. Ἢν [12] δὲ ὧδε ἐχούσῃ τὰ ἐπιμήνια μὴ γίνηται, καὶ πῦρ ἐπιλάβῃ, φαρμάκοισι πρῶτον καθαίρειν ἄνω μάλιστα, ἢν δὲ ἀσθενὴς ᾖ,

[1] Λοῦσθαι θ. – ἀπὸ τῆς πυρίης θ. – ἀπὸ τ. π. om. vulg. – κἄπιτα θ. – ἀφαμένη vulg. – ἀψαμένην CDFGHIJK. – τῶν δακτύλων θ. – ἕλκειν πρὸς τὸ στ. CFG (H, al. manu) J, Ald. — [2] οὖν pro δὲ J. – κατιθυῆναι (sic) C. – εὐθὺ J. – προπυριάσας τοῖς θ. – πρ. καὶ τοῖσιν DQ'. – αὖτις θ. – τινὰ (τι C; τὰ θ) μαλ. vulg. – ἀλλὰ om. C. – καὶ pro ἀλλὰ θ. – μολίβδους CDJKθ. – τρεῖς (τρὶς θ) ἡμ. C. – ἓν θ. – ἑκάστης ἡμέρης sine καθ' Cθ. – ἡμέρην D, Lind. – ἡμέραν vulg. — [3] τ. om. Cθ. – ἢ om. θ. – σκίλλαν θ. – τρὶς θ. — [4] τ. om. θ. – μάνθ. om. C. – ᾖ om. C. – αἷμά τι δ. C. — [5] ἢν om. Cθ. – μεταδεῖσθαι pro μάλ. δεῖσθαι θ. – τοιούτοισι θ. – τουτέοισι D. — [6] ἄγεται C. – ἄγηται Lθ, Lind. – ἐνεργεῖς, al. manu γεῖν F. – τρὶς θ. – προστ. στέαρ πηκτὸν ἐνβάπτων εἰς μαλακὸν θ. – προστίθεσθαι J. – γλίχωνα HJ. – θυμιουμένη FGIK, Ald., Frob. – θυμιωμένην D. – θυμιουμένην J. – καὶ om. Cθ. — [7] δ' θ. — [8] γίνεται D. – εἰς J. – κἄπιτα θ. – ἄλειφαρ D. — [9] δὲ πρὸς Cθ. – καταχεῖσθαι K. – τούτω J. — [10] δὲ om. L. – μηδὲ (μὴ θ) πρὸς vulg. – μεταστaίωσιν C. – μεταστῶσιν θ. – τοὺς om. θ. –

dise que sa vue s'obscurcit et qu'elle tombe en faiblesse. Après la fumigation elle prend un bain chaud; puis, touchant avec le doigt, elle tire l'orifice utérin vers l'ischion sain. La nuit on applique des émollients. Quand elle annonce que l'orifice est droit, on administre une fumigation aromatique, on revient aux émollients, mais on y joint les plombs qu'on emploie pendant trois jours et dont on met un chaque jour; ensuite la bryone ou la scille pendant trois jours. Puis, examinant les règles, reconnaissez si elles sont bilieuses ou pituiteuses, et si le sang est altéré; dans le cas où le sang a besoin d'être mondifié, appliquez les pessaires qui paraîtront les plus convenables, et faites ensuite une injection de même nature; il faut mettre les pessaires, jusqu'à ce que du sang pur soit amené, et faire cela pendant trois jours. On applique de la graisse de cerf fondue où l'on a trempé une laine souple, puis du pouliot pendant le jour; la femme prend une fumigation aromatique, et va ainsi auprès de son mari. Si le mal est venu à la suite de l'accouchement, on passe, après l'avoir mondifiée complétement à l'aide de la fumigation à l'urine, aussitôt aux aromatiques, puis, après avoir donné un bain, on appliquera du parfum blanc égyptien sur la hanche saine, et la femme se couchera sur ce côté. Si la matrice, par ces moyens, ne quitte pas sa place vicieuse, la malade boira, à jeun, cinq grains noirs de mercuriale dans du vin odorant; et avec la polenta ou le pain elle mangera de l'ail cru, grillé et bouilli; elle usera aussi peu que possible de m[illegible] (*viandes ou poissons*). Si elle ne guérit pas, on la mondifiera comme dans le cas précédent. En cette maladie, si la femme ne devient pas aussitôt enceinte, elle perd la faculté d'avoir des enfants. Si, chez une femme en cet état, les règles ne paraissent pas et que la fièvre sur-

στιίω θ. - ὠμὰ κ. ἑ. καὶ ὀπτὰ θ. - λέγω pro ἐλαχίστοισιν C (θ, λέγω). — [u] δὲ θ, Lind. - δὲ om. vulg. - γίνηται CDFHIJθ. - ὑγιής om. θ. - Post ὡσ. addunt δὲ K, καὶ L. - αὐτ. σχοῖεν (σχῇ Cθ) ἐν γ., ἄτοκοι γίνονται (ἄτοκος γίνεται θ) vulg. — [a] δ' θ. - ἔχωσι (ἔχουσιν C; ἐχούσῃ θ) (addunt καὶ J, Lind.) τὰ vulg. - μηδὲ (καὶ pro μ. θ) πῦρ ἐπ. (ἐπιβάλῃ Ald.) vulg. - ἀσθενήσῃ θ.

κάτω· καὶ [1] μετὰ τὴν φαρμακοποσίην, ἤν σοι δοκέῃ φλεγματιώδης εἶναι, ἐμεέτω νῆστίς τε καὶ ξὺν τῷ σιτίῳ, καὶ ὡς τὰ πολλὰ ὑγιὴς ἔσται.

138. [2] Ἢν [2] δὲ αἱ μῆτραι πρὸς τὸ ἰσχίον λυθῶσι, τὰ ἐπιμήνια παχέα ἐόντα οὐ γίνεται· ὀδύνη [3] δὲ ἐς τὴν νειαίρην γαστέρα ἀφικνέεται· ἀφικνεῖται δὲ καὶ ἐς τὸν κενεῶνα, καὶ δάκνεται. Ὅταν ὧδε ἔχῃ, λούειν πολλῷ θερμῷ, καὶ διδόναι σκόροδα [4] τρώγειν ὡς πλεῖστα, καὶ γάλα πίνειν ἱκνεομένως, ἔπειτα οἶνον ἄκρητον, καὶ πυριῆσαι ὅλην, καὶ φάρμακον δοῦναι ἄνω· ἢν [5] δὲ ἀσθενεστέρη ᾖ, κάτω. Ἢν δὲ ἰηθῇ, πυριῆν τὰς ὑστέρας μαράθρῳ, ξυμμίσγεται δὲ καὶ ἀψίνθιον· ἐπὴν δὲ νεοπυρίητος ᾖ, ἀφέλκειν τὸ στόμα τῷ δακτύλῳ ἠρέμα τῶν ὑστερέων πρὸς τὸ ὑγιὲς ἰσχίον, [6] παρηγορικῶς μαλθάσσοντα τὸ στόμα τε καὶ τὰ ἀμφιπονεόμενα, καὶ προσθεῖναί τι μαλθακτήριον, μετὰ δὲ μολύβδους, καὶ αὐτίκα σκίλλαν, ἔπειτα ναρκίσσινον μίαν ἡμέρην διαλιπών. [7] Ἐπὴν δέ σοι δοκέῃ καθαρή τις εἶναι, τὸ νέτωπον προσθέσθω ἐν εἰρίῳ· τῇ [8] δὲ ὑστεραίῃ ἔλαιον ῥόδινον· τῶν ἐπιμηνίων δὲ ἰόντων, ἄμεινον μὴ προστίθεσθαι· ἢν δὲ μὴ [9] ἴῃ, κανθαρίδας τέσσαρας, ἀπτέρους καὶ ἄποδας [10] καὶ ἄτερ κεφαλῆς, καὶ γλυκυσίδης κόκκους πέντε τοὺς μέλανας καὶ σηπίης ᾠὰ, καὶ σελίνου σπέρμα ὀλίγον ἐν οἴνῳ διδόναι πίνειν· καὶ ἢν ὀδύνη [11] ἐνῇ καὶ στραγγουρίη ἔχῃ, ἐν ὕδατι θερμῷ ἐγκαθήσθω, καὶ πινέτω μελίκρητον ὑδαρές· ἢν δὲ μὴ καθαίρηται, αὖθις τὸ φάρμακον πινέτω· ἢν [12] δὲ ἴῃ, ἀσιτήσασα, [κυκεῶνα] πινέτω, καὶ ξυνίτω τῷ ἀνδρί. [13] Ἢν δὲ μὴ γίνηται, [14] διδόναι

[1] Μετην (sic) pro μ. τὴν θ. – φαρμακοπωσίην θ. – αἱματώδης pro φλ. DFGJL. – ἐμείτω θ. – καὶ νῆστις καὶ Cθ. — [2] δὲ om. Cθ. – εὐανθῶσι vulg. – ἐκθέωσι Lind. ex Erot., p. 166. – ..νθέωσι C. – αὑανθῶσι DJ. – λυθῶσι θ. – οὐ γίνονται τὰ ἐπ. παχ. ἐόντα C. – ὄντα οὐ πίγνονται (sic) θ. — [3] δ' C. – νιαιρὰν θ. – νειέρην FGIK, Ald., Frob. – νειαιρὴν Lind. – πολ. καὶ (καὶ om. C) θερ. vulg. — [4] ὡς πλ. τρ. θ. – Post ὡς addit τότε C. – πλύνειν pro πίνειν D. – ἰχνευμένως θ. – ἰκνεόμενος K. – ἱκνεόμενος DFHJ. – Post ἔπ. addit πίνειν J. – ἄκρ. οἶνον J. – πυριάσαι θ. — [5] δ' θ. – μαράθῳ CGHIK, Ald. – μαράθα (sic), al. manu μαράθῳ F. – ξύνμισγε θ. – νεοπύρεκτος DFGIJK. — [6] παρ. om. (DH, restit. al. manu) FGIJKL. – σῶμα (στόμα Foes in not., Lind.) vulg. – τὰ CHIJθ, Ald., Lind. – τὰ om. vulg. – ἀμφιπονεύμενα θ. – τι om. θ. – μολίβδους CDJKθ. – εἶτε (εἶτα Foes in not., Lind.; ἔπειτα θ) ν. (νάρκισσον C) vulg. – μίην C. – ἡμέραν JK. — [7] ἐπὴν σοι δέ σοι δοκέῃ θ. – καθαρὰ D. — [8] δ' Cθ. – [καὶ] τῇ ὑστ. Lind. – τῶν om. Cθ. — [9] ἴωσι vulg. – ἴῃ Cθ. — [10] καὶ θ. – καὶ om. vulg. – σιπίης FGIK. – διδόναι πίνειν θ. – διδ. π.

vienne, on l'évacue d'abord par le haut et, si elle est faible, par le bas. Après l'évacuation, si la malade vous paraît pituiteuse, faites la vomir à jeun et avec les aliments, et la plupart du temps elle guérira.

135. (*Autre obliquité latérale.*) Si la matrice se relâche du côté de l'ischion, les règles, étant épaisses, ne viennent pas; de la douleur se fait sentir au bas-ventre, elle gagne le flanc et est mordicante. Les choses étant ainsi, laver avec beaucoup d'eau chaude, donner à manger autant d'ail que possible, faire prendre du lait en quantité convenable, puis du vin pur; administrer une fumigation générale, puis une évacuation par le haut, et, si la femme est faible, par le bas. La douleur étant guérie, on administre une fumigation avec le fenouil, où l'on mêle aussi de l'absinthe. Aussitôt après la fumigation, on tire doucement avec le doigt l'orifice utérin vers la hanche saine, assouplissant avec ménagement l'orifice et les parties voisines qui souffrent. On met quelque émollient. Puis on en vient aux plombs, ensuite à la scille, après à l'huile de narcisse, laissant un jour d'intervalle. Quand vous jugez la malade mondifiée, appliquez le nétopon dans de la laine; le lendemain, de l'huile de rose. Pendant que les règles vont, il vaut mieux ne rien appliquer. Si elles ne vont pas, prendre quatre cantharides, en ôter les ailes, les pattes et la tête, cinq grains noirs de pivoine, des œufs de sèche, un peu de graine d'ache, et donner à boire dans du vin; si le médicament produit de la douleur et de la strangurie, la femme prendra un bain de siége chaud, et boira de l'hydromel coupé d'eau. Dans le cas où la purgation menstruelle ne viendrait pas, il faudrait reprendre le médicament. Si elle vient, la femme, gardant l'abstinence, boira du cycéon, et ira auprès de son mari. Si

Om. vulg. — [11] ἡ D. - στραγγουρίην C. - ἐγκαθίσθω DΘ. - αὖτις CΘ. — [12] δὲ μὴ K. - εἴη vulg. - ἴη Θ, Foes in not., Lind. - J'ajoute entre crochets κυκεῶνα; voy. un passage parallèle, p. 334, l. 16. - ξυνέστω CΘ. — [13] ἢν δὲ μὴ γ. om. Θ. — [14] Post δ. addit δὲ καὶ Θ. - δρῶν Θ. - ἀσφαλῶς J. - ἀσφαλεσ (sic) Θ.

ὅ τι κατασπάσει, ὁρέων πρὸς τὴν δύναμιν τῆς γυναικὸς, καὶ τότε ἀσφαλὲς φοιτᾷν [1] πρὸς τὸν ἄνδρα· ἢν γὰρ ἴσχῃ ἐν γαστρὶ, ὑγιὴς γίνεται. Ἐν δὲ τῇ καθάρσει, ἢν ἴῃ πολλὴ, λινόζωστιν ἐσθιέτω, καὶ [2] πουλύποδας ἑφθοὺς ἁπαλοὺς, καὶ σιτίοισι μαλθακοῖσι χρεέσθω.

136. [3] Ἢν [4] ἐς τὸ ἰσχίον αἱ ὑστέραι ἢ [5] ἐς τὸν κενεῶνα καταστηρίξωσι λεχοῖ, προστιθέναι [5] ἐς θάτερον ἰσχίον αἰγύπτιον ἔλαιον λευκὸν ἢ ῥόδινον, ἐπὶ δὲ τὸ ὑγιὲς ἰσχίον ἄμεινον κατακεῖσθαι· πίνειν δὲ γλυκυσίδης κόκκους τέσσαρας τοὺς μέλανας, καὶ ἀκτῆς καρπὸν ἐν τοῖσδεσιν ὅσον χηραμύδα, [6] καὶ κάστορος ὡς κύαμον, καὶ σιτίοισι χρῴτο μαλθακοῖσι· λινόζωστις δ' ἂν ἁρμόζοι πρὸ τοῦ σιτίου ἑφθὴ ὡς κράμβη· ῥοφεέτω δὲ καὶ τοῦ ὕδατος· [7] καὶ τὰ δριμέα τρωγέτω, πλὴν ῥαφανῖδος, καὶ κρομμύου, καὶ καρδάμου· ἄριστον δὲ θριδακίνη.

137. [8] Ὁκόσα δὲ ἀπὸ τῶν ὑστερέων ξυμβαίνει γίνεσθαι νοσήματα, τάδε λέγω· ὁκόταν αἱ ὑστέραι ἐκ χώρης κινηθέωσι, προσπίπτουσιν ἄλλοτε ἄλλῃ· [9] ὅκου δ' ἂν προσπέσωσιν, ὀδυνήματα καταστηρίζουσιν ἰσχυρά· καὶ ἢν ἅψηται τῆς κύστιος, ὀδύνην παρέχουσι, καὶ τὸ οὖρον οὐ δέχονται, οὐδὲ [10] τὸν γόνον ἐπὶ σφέας ἕλκουσι, καὶ ἄμφω ἀλγέει· κἢν μὴ ταχέες λύσιες γίνωνται, διαπυΐσκονται αἱ ὑστέραι χρόνῳ ὕστερον κατὰ τὰ αὐτὰ χωρία, ᾗ ἂν προσαυανθῶσι· γίνεται [11] δὲ κατὰ κενεῶνάς τε καὶ βουβῶνας καὶ ὑπὲρ τοῦ κτενός.

[1] Ἐς FGIJ. - ἔχῃ θ. - σχῇ C. - πουλλὴ DFGHIJK, Ald., Frob. - πολλαὶ θ. - λινόζωστιν D. - λινοζῶστιν vulg. — [2] πόδας δῖος (οἷός G; διὸς DHJK) (πουλύποδας pro π. δ. Cθ) vulg. - καὶ παλαιοὺς pro ἁπ. L, Lind. - χρήσθω θ. — [3] ἢ C. — [4] εἰς vulg. - ἐς CDHIKθ, Lind. - αἱ λέχῃ pro λεχοῖ FL. - αἱ λέχοι DGHK. - αἱ λέχεαι J. - λέχοι C, Ald. — [5] ἐπὶ θ. - ἔλ. αἰγ. θ. - τέσσ. om. θ. - πέντε pro τέσσ. C. - καὶ ἀκ. καρ. om. K. - ἐν τοῖσι (τῆσι H) δαισὶν (τοις δεσσιν sic θ) ὅσον vulg. - χηραμύδος J. - χηραμίδα DHK. — [6] καὶ om. C. - τοῦ δὲ κάστορος θ. - χρῷ θ. - χρῶτω (sic) DH. - χρώτω IK, Ald., Frob. - χρήσθω J. - χρέο C. - μαλακοῖσι J. - λινόζωστις D. - λινοζῶστις vulg. - δ' om. Cθ. - ἐναρμόζοι θ. - ῥυφέτω θ. — [7] καὶ om. C. - τὰ δὲ pro καὶ τὰ θ. - ῥεφανίδος CFGIK. - ῥαφανίδος DHJθ, Lind. - καὶ καρδ. om. K. — [8] ὁκ. δ' θ. - δὲ om. C. - συμβ. θ. - νοσ. (νουσ. K, Lind.), (addit τάδε θ) λέγω δὲ (δὲ om. θ) ὁκόταν (ὅταν θ) αἱ vulg. - κινηθῶσι vulg. - κεινηθέωσι θ. - κινηθέωσιν C. — [9] ὅπῃ θ. - ὀδυνήματα καταστ. ὀδυνηρὰ (ἰσχυρὰ θ) vulg. - ἅψ. τις τῆς vulg. - J'ai supprimé τις, né de la répétition, par iotacisme, de τῆς. — [10] τὴν γονὴν ἐπὶ σφᾶς θ. - ἄφνω pro ἄμφω K. - καὶ ἢν θ. - ταχεῖαι vulg. - ταχέες θ. - γίνονται vulg. - γίνωνται DFGHIJKθ, Lind. - χρόνῳ θ. - χρ. om.

les règles ne viennent pas, on donnera ce qui les provoque, en se réglant sur la force de la femme; et alors elle peut en sûreté aller avec son mari, car, si elle conçoit, elle guérit. Pendant les menstrues, si elles sont abondantes, elle mangera de la mercuriale, des poulpes tendres cuits, et usera d'aliments émollients.

136. (*Obliquité latérale chez une accouchée.*) Si la matrice se fixe à l'ischion ou au flanc chez une accouchée, on appliquera sur l'autre hanche du parfum égyptien blanc ou de l'huile de rose. Il vaut mieux que la malade soit couchée sur la hanche saine. Elle prendra en breuvage quatre grains noirs de pivoine, une chéramys (= $0^{litre},009$) de graine de sureau avec ces grains, du castoréum gros comme une fève; et elle usera d'aliments émollients. La pivoine cuite comme du chou convient avant le manger; elle boira aussi l'eau où la mercuriale a bouilli. Elle mangera les herbages âcres, sauf le raifort, le poireau et le cardame (*erucaria aleppica*). Ce qu'il y a de mieux, c'est la laitue.

137. (*Considérations générales sur les déplacements utérins. Il y a toujours une confusion entre les déplacements imaginaires et les déplacements réels. Matrice tournée vers la vessie. Matrice tournée vers le siége.*) Pour toutes les maladies qui ont leur origine dans l'utérus, voici ce que je dis : quand la matrice se déplace, elle se porte tantôt d'un côté, tantôt d'un autre; partout où elle se porte, il se fixe des douleurs intenses. En contact avec la vessie, elle cause de la douleur, ne laisse point passer l'urine, et n'attire pas le sperme à soi, et les deux parties sont douloureuses. Si une prompte solution n'intervient pas, elle suppure avec le temps dans les mêmes endroits contre lesquels elle s'est desséchée. Cela se produit aussi aux flancs, aux aines et au-dessus du pubis. Au début, quand la douleur existe, il faut traiter ainsi : faire des fomen-

vulg. - ταῦτα pro τὰ αὐτὰ θ. - χωρία, ἣν πρὸς αὐτὰ θέωσι vulg. - χωρία, ἣ [illegible]c) ἂν προσαυανθῶσι θ. — [11] δὲ ταῦτα κατὰ θ. - ἡ om. C. - ἢ pro ἔχῃ C. - καὶ (καὶ om. θ) χλιάσ. vulg.

Χρὴ δὲ ἐν ἀρχῇσιν, ὅταν ἡ ὀδύνη ἔχῃ, ὧδε θεραπεύειν· χλιάσματα προστιθέναι, καὶ ἐν ὕδατι θερμῷ εἶναι, ἀγαθὸν γὰρ [1] καὶ τοῦτο· ἢ σπόγγοισιν ἐν ὕδατι θερμῷ ἐκπιεζομένοισι πυριῆν· καὶ πίνειν τῶν ὑστερικῶν φαρμάκων· ἢν δὲ μὴ πρὸς ταῦτα λύηται, φαρμακεύειν [2] κάτω, ἢν δέῃ, καὶ ἄνω, ὁκοτέρου ἂν ἁρμόσῃ μᾶλλον δεῖσθαι. Τοῦτο δὲ διαγνώσῃ τῷδε τῷ τρόπῳ· ἢν μὲν ἐς τοὺς βουβῶνας καὶ κτένα καὶ κύστιν ἐγχρίμψῃ, αὗται χρήζουσιν ἄνω φαρμακείης· ἢν [3] δὲ ἐς τοὺς κενεῶνάς τε καὶ τὰ ὑποχόνδρια, αὗται δέονται κατωτερικοῦ φαρμάκου· μετὰ δὲ ταύτας τὰς καθάρσιας εὐθὺς καθαίρειν τὰς ὑστέρας. Τὰ δὲ [4] νουσήματα πάντα τὰ τοιουτότροπα γεραιτέρῃσι μᾶλλον γίνεται ἢ νεωτέρῃσι, πρὸς τὰς ἀπολείψιας τῶν ἐπιμηνίων· γίνεται δὲ [5] καὶ νέῃσιν ἐούσῃσιν, ὁκόταν χηρεύσωσι πουλὺν χρόνον. Ἢν [6] δὲ ἐς τὴν ἕδρην τράπωνται, τὰ ὑποχωρήματα κωλύονται, καὶ ὀδύναι ἴσχουσι τήν τε ὀσφὺν καὶ τὴν νειαίρην γαστέρα καὶ τὸν ἀρχόν. [7] Ὅταν ὧδε ἔχῃ, λούειν χρή μιν τῷ θερμῷ, καὶ πυριῆν τὴν ὀσφὺν, καὶ ὑποθυμιῆν τὸ κατόπιν κακώδεσι, καὶ προστιθέναι ἅσσα καθαίρει τε καὶ ἐλαύνει τὰς ὑστέρας, καὶ πιπίσκειν ὅ τι ἂν προσδέχηται τῶν ξυμφερόντων μάλιστα. Ἢν δὲ [8] κάτω ἐγχέωνται ἐς τοὺς βουβῶνάς τε καὶ οὐρητῆρα, ὀδύναι γίνονται ἰσχυραὶ, καὶ νάρκη ἐν τοῖσι σκέλεσι, καὶ ὁ οὐρητὴρ ἀποφράσσεται, καὶ τὸ οὖρον οὐ μεθίησι. [9] Θεραπεύειν δὲ χρὴ ὧδε· πρὸς μὲν τὰς ῥῖνας προστιθέναι τὰ εὐώδεα καὶ μύρα, πρὸς δὲ τὰς ὑστέρας τὰ δύσοδμα θυμιῶντα.

138. Ἅπασα δὲ πρόφασις ἱκανὴ τὰς ὑστέρας παροτρῦναι, ἢν ἔχωσί [10] τι φλαῦρον· καὶ γὰρ ἀπὸ ῥίγεος τῶν ποδῶν καὶ ὀσφύος, καὶ

[1] Καὶ ἐν τούτῳ (τοῦτο, sine ἐν, θ) vulg. - ἐπιεζευμένοις (sic) πυριᾶν θ. — [2] κάτω καὶ ἄνω, ἢν δέῃ· ὁκοτέρου ἂν γένηται (φαίνηται conj. Coray., Hm. Oxon. consp., p. 10) δεῖσθαι· τοῦτο vulg. - κάτω· καὶ ἄνω ἢν δέῃ· τοῦτο Lind. - κάτω ἢν δέηται καὶ ἄνω ὁπότερον ἀναρμόζῃ μᾶλλον δεῖσθαι· τοῦτο θ. - κάτω ἢν δέῃ καὶ ἄνω, ὁκοτέρου ἁρμόσῃ μᾶλλον δεῖσθαι C. - ἐς.... δὲ om. G. - ἐγχρίψῃ CDFHIK. - ἐγχρέμψῃ Ald. - ἐγχρήψῃ Q'. - χρήσουσιν vulg. - χρήζουσιν CDFHIJKθ. - ἄνευ pro ἄνω CDFH. — [3] δ' θ. - Ante δέονται addit δὲ θ. - κατωτερικῶν φαρμάκων Cθ. - μετὰ δὲ ταύτας τὰς καθάρσιας εὐθὺς καθαίρειν τὰς ὑστέρας θ. - μετὰ.... ὑστέρας om. vulg. — [4] νοσ. Cθ. - μάλιστα (μᾶλλον Cθ) vulg. - ἀπολήψιας CD. - ἐπιλείψιας J. — [5] καὶ om. D. - ὅταν θ. - πολὺν C. — [6] δ' Cθ. - κωλύουσι LQ', Lind. - κωλύσουσι DFGIJK. - ἴσχονται vulg. - ἴσχουσι Cθ. - νειέρην FGHIK, Ald., Frob. - νιαιρὰν θ. - νειαιρὴν Lind. — [7] ὅταν δὲ ὧδε θ. - πυριᾶν θ. - ἐπιθυμιαν (sic) τὰ κάτοπιν. - κακώδεσι om. K. - καθαίρεται pro καθ. τε θ. - τῶν ξυμφ. προσθ. J. —

tations chaudes; être dans l'eau chaude, car cela est bon aussi. Ou bien fomenter avec des éponges trempées dans l'eau chaude et exprimées. Boire des medicaments utérins. Si ces moyens n'amènent pas la solution, évacuer par le bas, et, s'il faut, par le haut, suivant que le besoin sera. Voici comment on reconnaît quelle voie peut être prise : si la matrice s'est fixée aux aines, au pubis et à la vessie, évacuez par le haut; si aux flancs et aux hypocondres, évacuez par le bas. Aussitôt après ces évacuations, mondifiez la matrice. Toutes les maladies de ce genre surviennent plutôt chez les femmes d'un certain âge que chez les jeunes, vers l'époque de la cessation des menstrues. Elles naissent aussi chez les jeunes dont le veuvage se prolonge beaucoup. Si la matrice se tourne vers le siége, les selles sont interceptées, des douleurs se font sentir aux lombes, au bas-ventre et à l'anus. Les choses étant ainsi, laver à l'eau chaude, fomenter les lombes; faire par le bas des fumigations fétides; appliquer en pessaire ce qui purge et pousse la matrice; donner en breuvage, parmi les choses convenables, celles qui seront le mieux acceptées. Si la matrice se fixe en bas aux aines et à l'urèthre, il survient des douleurs intenses, les jambes s'engourdissent, l'urèthre est obstrué, et l'urine n'est pas rendue. Traiter ainsi : aux narines appliquer les bonnes odeurs et les baumes, à la matrice les mauvaises odeurs, par fumigation.

138. (*Toute cause est suffisante pour déplacer l'utérus déjà lésé. Réflexion générale sur la nécessité de prendre en considération l'ensemble du corps. Danger du refroidissement des jambes.*) Toute cause est suffisante pour déplacer l'utérus, pour peu qu'il ait quelque lésion; toute cause, par exemple, avoir

[8] καταεγχέωνται vulg. - καταἐγχέωνται F. - κάτω ἐγχέωνται D. - κάτω ἐνκαίωνται θ. - κατεγχέωνται C. - εἰς H. - οὐρητῆρα θ. - οὐρητῆρας vulg. - νάρκα θ. - τοῖς K. - ὁ om. C (D, restit. al. manu). - μεθίεισι FHIL. — [9] τὰς τοιαύτας θεραπεύειν ὧδε pro θερ.... ὧδε θ. - χρὴ om. C. - μῦρα D. - θυμιῆν DHI. - θυμιᾷν vulg. - θυμιῶντα Cθ. — [10] τι om. C. - ὀσφῦος Fθ. - ὀρχεῖσθαι vulg. - ὀρχέεσθαι θ. - πτίσαι Cθ. - κεάσσαι vulg. - κεάσαι CDK. - πρόσαντες pro πρὸς ἄν. DFGHIJK.

ἀπὸ τοῦ ὀρχέεσθαι καὶ πτίσαι καὶ κεάσαι καὶ δραμεῖν πρὸς ἄναντες χωρίον καὶ [1] πρὸς κάταντες, καὶ ἀπ' ἄλλων. Ταῦτ' οὖν χρὴ σκέπτεσθαι ἐς οὖλον τὸ σῶμα καθορέοντα, ὅταν τὰ παρεόντα συθῇ [2] νουσήματα· τὰ γὰρ τοιάδε ἀνάγκη ἐστὶ τῷ πλέονι ἢ τῷ ἐλάσσονι νοσέειν· [3] καθ' ὃ δ' ἂν ἐκλάμψῃ μάλιστα, ταύτῃ τὰ ἐξαπιναῖα δῆλα τῶν νουσημάτων· [4] ὁκόταν οὖν τὰ ἐξαπιναῖα ταῦτα συθῇ, ἀνωτέρω χρὴ λαμβάνεσθαι ἐκ τοῦ παντὸς ἀνθρώπου. [5] Ὁκόσαι δὲ ἀποψύξιες σκελέων ἢ ναρκώσιες ψύξει γίνονται ἐν τοῖσιν ὑστερικοῖσι, ταῦτα πάντα μεταρσιοῖ τὰς ὑστέρας. Ἐν τοῖσι [6] τοιουτέοισι καταχεῖν χρὴ θερμὸν ὕδωρ κατὰ τῆς ὑστέρης καὶ τῶν πέριξ χωρίων, καὶ ἐκθερμαίνειν αὐτὰς καὶ τὰ σκέλεα, καὶ ὅταν προσπεπτωκυῖαι ἔωσιν.

